2. Λέγεται τοίνυν ὁ κόσμος καθ' ἓν μὲν πρῶτον σύστημα ἐξ οὐρανοῦ καὶ ἄστρων κατὰ περιοχὴν γῆς καὶ τῶν ἐπ' αὐτῆς ζῴων καὶ φυτῶν, καθ' ἕτερον δὲ μόνος οὐρανός, εἰς ὃν ἀπιδὼν Ἀναξαγόρας πρὸς τὸν πυθόμενον, ἧς ἕνεκα αἰτίας ταλαιπωρεῖται διανυκτερεύων ὕπαιθρος, ἀπεκρίνατο 'τοῦ τὸν κόσμον θεάσασθαι' τὰς χορείας καὶ περιφορὰς τῶν ἀστέρων αἰνιττόμενος· κατὰ δὲ τρίτον, ὡς δοκεῖ τοῖς Στωικοῖς, διῆκον ἄχρι τῆς ἐκπυρώσεως, οὐσία τις ἢ διακεκοσμημένη ἢ ἀδιακόσμητος, οὗ τῆς κινήσεώς φασιν

1 ἀπερρυψάμεθα PM ut corr. Mangey: ἀπεριψάμεθα L: ἀπερψάμεθα V ἴσως om. PM 2 φαιδρυναμέναις LVM: φαιδρυνομέναις P αὐγοειδῶς Mangey: αὐτοειδῶς libri 3 ψυχαῖς L: εὐχαῖς VM: in P oblitteratum 4 δὲ LV: δὲ καὶ PM 5 στοχασμοὺς libri: μολυσμοὺς Bernays: ἐγκαύματα Mangey coll. Plat. testim. Quid lateat verbi, nescio τόπους P ut vid. 6 κἀν] κἂν (sic) LPM: ἂν V αὐτῶν Bernays: αὐτῶν libri μίμημά τι LPM: vid. μιμήματα V 7 ἀνευρίσκειν ἡμᾶς L: ἀνευρίσκωμεν PM: εὑρίσκωμεν V 7 ἐπειδὴ ... κόσμος om. PM 8 πολλαχῶς LV et e corr. P[1]: πολλαχοῦ M 8. 9 ἐρευνᾶν ut vid. P 9 περὶ om. VPM σημαινόμενον νυνὶ κατατέτακται Bernays 14 πυθόμενον L: πυνθανόμενον VPM 15 ταλαιπωρεῖται διανυκτερεύων coll. Thucydidis testim. Bernays: τὰ πολλὰ πειρᾶται διανυκτερεύειν libri 16 (χο)ρείας in ras. P 17 διῆκον Jessen: διήκων libri: διήκουσα Turneb. sed μέχρι tum sequeretur. 18 οὗ libri: ἧς Turneb.

σθαι καὶ ἐκκαθήρασθαι τὰς δυσεκπλύτους κηλῖδας ... ἕως ἂν οἱ τῶν ἀρχαίων παρανοημάτων ἐνσφραγισθέντες τύποι ἀφανισθῶσι 5 Plat. Tim. 26c οἷον ἐγκαύματα ἀνεκπλύτου γραφῆς ἔμμονά μοι γέγονε ... 29c ἐὰν πολλὰ πολλῶν εἰπόντων περὶ θεῶν καὶ τῆς τοῦ παντὸς γενέσεως μὴ δυνατοὶ γιγνώμεθα πάντη πάντως αὐτοὺς ἑαυτοῖς ὁμολογουμένους λόγους καὶ ἀπηκριβωμένους ἀποδοῦναι μὴ θαυμάσῃς, ἀλλ' ἐὰν ἄρα μηδενὸς ἧττον παρεχώμεθα εἰκότας ἀγαπᾶν χρή 14 ad Anaxag. dictum cf. Iamblichi Protreptic. 9 p. 51,11 Pistelli [ex Aristot. Protrept. ut vid. cf. Eudemi Eth. A 5 p. 1216a11 et Ar. Eth. Nic. Kg. 1179a13, Sternbach *Wiener Studien* X 20] καὶ Ἀναξαγόραν δέ φασιν εἰπεῖν ἐρωτηθέντα τίνος ἂν ἕνεκα ἕλοιτο γενέσθαί τις καὶ ζῆν, ἀποκρίνασθαι πρὸς τὴν ἐρώτησιν ὡς τοῦ θεάσασθαι τὸν οὐρανὸν καὶ τὰ περὶ αὐτὸν ἄστρα τε καὶ σελήνην καὶ ἥλιον 15 Thuc. I 134,2 μὴ ὑπαίθριος ταλαιπωροίη

εἶναι τὸν χρόνον διάστημα. νῦν δ' ἐστὶν ἡ σκέψις περὶ τοῦ κόσμου τοῦ κατὰ τὸ πρῶτον σημαινόμενον, ὃς ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς ζῴων συνέστηκεν. λέγεται μέντοι καὶ φθορὰ ἥ τε πρὸς τὸ χεῖρον μεταβολὴ [λέγεται δὲ] καὶ ἡ ἐκ τοῦ ὄντος ἀναίρεσις παντελής, ἣν καὶ ἀνύπαρκτον ἀναγκαῖον λέγειν· ὥσπερ γὰρ ἐκ | τοῦ μὴ ὄντος οὐδὲν γίνεται, οὐδ' εἰς τὸ 221 B. μὴ ὂν φθείρεταί τι.

ἔκ τε γὰρ οὐδάμ' ἐόντος ἀμήχανόν ἐστι γενέσθαι,
καί τ' ἐὸν ἐξαπολέσθαι ἀνήνυστον καὶ ἄπυστον.

καὶ ὁ τραγικός·

θνήσκει δ' οὐδὲν τῶν γιγνομένων,
διακρινόμενον δ' ἄλλο πρὸς ἄλλου
μορφὴν ἑτέραν ἀπέδειξεν.

οὐδεὶς οὕτως ἐστὶν εὐήθης ὥστε ἀπορεῖν, εἰ ὁ κόσμος εἰς τὸ μὴ ὂν φθείρεται, ἀλλ' εἰ δέχεται τὴν ἐκ τῆς διακοσμήσεως μεταβολὴν τὰς ποικίλας 5 μορφὰς στοιχείων τε καὶ συγκριμάτων εἰς μίαν τε καὶ τὴν αὐτὴν ἰδέαν ἀναλυθείς, ἢ ὥσπερ ἐν τοῖς θλάσμασι καὶ τοῖς κατάγμασι δεξάμενος παντελῆ σύγχυσιν.

3. Τριτταὶ δὲ περὶ τοῦ ζητουμένου γεγόνασι δόξαι, τῶν μὲν αἴδιον 489 M. τὸν κόσμον φαμένων, ἀγένητόν τε καὶ ἀνώλεθρον, τῶν δὲ ἐξ ἐναντίας γενητόν

---

1 νῦν om. VPM δέ ἐστιν L τοῦ κόσμου PM: κόσμου LV 3 ζῴων Bernays: ἐξ ὧν libri συνέστηκε VPM 4 λέγεται δὲ del. Diels ἡ ἐκ τοῦ LV: ἡ τοῦ PM. 6 τι addidi. Cf. v. 8 E verbis καὶ ὁ τραγικὸς v. 9 apparet Philonem Empedoclis quoque ipsos versus dedisse 7 ἔκ τε Diels Hermes XV, 62: ἐκ τοῦ libri οὐδάμ' ἐόντος Diels: οὐδαμῇ ὄντος libri ἐστι om. L 8 καί τ' ἐὸν Diels: τι, τό τε ὂν libri, τι videtur e versu 6 transpositum ἐξαπολέσθαι V ut coni. Diels: ἐξαπολεῖσθαι LPM ἀνήνυτον L ἄπυστον post Mangeyum Bernays (qui vers. 77 Parmen. ed. Mullach confert: ἄπυστος ὄλεθρος): ἄπαυστον libri: ἄπρηκτον Pseudaristot. 10 γιγνομένων Nauck: γινομένων libri 11 διακρινόμενον infra libri: κρινόμενον hic LVPM[1] ἄλλου cf. Nauck: ἄλλο libri: ἄλλῳ Bernays. ἑτέραν] ἰδίαν p. 11, 13 13 οὐδεὶς scripsi: οὐδέ γε libri: οὐδὲ εἷς vel οὐδεὶς οὖν Buecheler: οὐδεὶς γοῦν Bernays εὐήθης Bernays: εὔηθες libri ὥστε LPM: τὸ V 14 ἐκ τῆς] τῆς om. M 15 τε καὶ PM: καὶ LV 16 καὶ τοῖς] τοῖς om. V ἐν e corr. M (πᾶν Monacensis) 18 τριταὶ M περὶ] παρὰ PM γεγόνασιν M 19 ἀγένητον vr Turneb: ἀγέννητον LVPMa γενητόν E Turneb.: γεννητόν LVPM

---

1 De provid. I. c. 12 *nequit quicquam* ἀπὸ τοῦ *non esse* εἰς τὸ *esse venire*. cf. ibid. II c. 12 et II 109 (Euseb. II 646 M) καθάπερ οὐδὲ ἐκ τοῦ μὴ ὄντος τι γεννᾶται . . . De sacrif. 2 (II 252 M.) οὐδὲν εἰς τὸ μὴ ὂν φθείρεσθαι πέφυκεν ἀλλ' ἐξ ὧν ἡ ἀρχὴ πρὸς ταῦτα καὶ τὸ τέλος 9 Empedocles v. 48 Stein. cf. Pseudaristot. de Xenoph. p. 975 b 1 10 Euripid. Chrysippos (fr. 839 Nauck frag. trag. ed. 2). Cf. infra p. 11,11. 43,3 et Leg. All. I c. 3 (I 45 M.) 19 Plato Tim. 52 A ἀγένητον καὶ ἀνώλεθρον (cf. Parmen. v. 59, Mullach)

τε καὶ φθαρτόν· εἰσὶ δ' οἳ παρ' ἑκατέρων ἐκλαβόντες τὸ μὲν γενητὸν παρὰ τῶν ὕστερον παρὰ | δὲ τῶν πρότερον τὸ ἄφθαρτον, μικτὴν δόξαν ἀπέ- 222 B. λιπον, γενητὸν καὶ ἄφθαρτον οἰηθέντες αὐτὸν εἶναι. Δημόκριτος μὲν οὖν καὶ Ἐπίκουρος καὶ ὁ πολὺς ὅμιλος τῶν ἀπὸ τῆς Στοᾶς φιλοσόφων γένεσιν καὶ φθορὰν ἀπολείπουσι τοῦ κόσμου, πλὴν οὐχ ὁμοίως· οἱ μὲν γὰρ πολλοὺς κόσμους ὑπογράφουσιν, ὧν τὴν μὲν γένεσιν ἀλληλοτυπίαις καὶ ἐπιπλοκαῖς ἀτόμων ἀνατιθέασι, τὴν δὲ φθορὰν ἀντικοπαῖς καὶ προσράξεσι τῶν γεγονότων· οἱ δὲ Στωικοὶ κόσμον μὲν ἕνα, γενέσεως δ' αὐτοῦ θεὸν αἴτιον, φθορᾶς δὲ μηκέτι θεὸν ἀλλὰ τὴν ὑπάρχουσαν ἐν τοῖς οὖσι πυρὸς ἀκαμάτου δύναμιν χρόνων μακραῖς περιόδοις ἀναλύουσαν τὰ πάντα εἰς ἑαυτήν, ἐξ ἧς πάλιν νῦν ἀναγέννησιν κόσμου συνίστασθαι προμηθείᾳ τοῦ τεχνίτου. δύναται δὲ κατὰ τούτους ὁ μέν τις κόσμος αἴδιος, ὁ δέ τις φθαρτὸς λέγεσθαι, φθαρτὸς μὲν ὁ κατὰ τὴν διακόσμησιν, αἴδιος δὲ ὁ κατὰ τὴν ἐκπύρωσιν παλιγγενεσίαις καὶ περιόδοις ἀθανατιζόμενος οὐδέποτε ληγούσαις. Ἀριστοτέλης δὲ μήποτ' εὐσεβῶς καὶ ὁσίως ἐνιστάμενος ἀγένητον καὶ ἄφθαρτον ἔφη τὸν κόσμον εἶναι, δεινὴν δὲ ἀθεότητα κατεγίνωσκε τῶν τἀναντία διεξιόντων, οἳ τῶν χειροκμήτων οὐδὲν φήθησαν διαφέρειν τοσοῦτον ὁρατὸν θεόν, ἥλιον καὶ σελήνην καὶ τὸ ἄλλο τῶν πλανήτων καὶ ἀπλανῶν | ὡς ἀληθῶς περιέχοντα 223 B. πάνθειον. ἔλεγέν τε, ὡς ἔστιν ἀκούειν, κατακερτομῶν, ὅτι 'πάλαι μὲν ἐδεδίει περὶ τῆς οἰκίας, μὴ βιαίοις πνεύμασιν ἢ χειμῶσιν ἐξαισίοις ἢ χρόνῳ ἢ ῥᾳθυμίᾳ τῆς ἁρμοττούσης ἐπιμελείας ἀνατραπῇ, νυνὶ δὲ φόβον ἐπικρέ-

---

1 δ' οἳ VMvr: δὲ οἳ LPa γενητὸν E Turneb.: γεννητὸν LVPM 2 παρὰ] ἀπὸ E ὕστερον LPM: ὑστέρων VE πρότερον Turneb.: προτέρων libri μικρὴν M 3 γενητὸν E: γεννητὸν LVPM εἶναι αὐτὸν PM 5 τοῦ κοσμοῦ LVE: τὸν κόσμον M: oblitt. in P 6 ὑπογράφουσιν PMV: ὑπογράφουσι L: ὑπεργράφουσι E 7 προσαράξεσι v 8 μὲν ἕνα] μὲν om. PM γενέσεως] γενέσθαι L δ' VMvr: δὲ LPa 9 πρὸς ἀκαμάστου V: πρὸς ἀκαμάτων E 10 ἀναλύουσαν LPM: ἀναλέγουσαν VE 11 νῦν ἀναγέννησιν L: αὖ ἀναγέννησιν PM: ἀναγέννησιν νῦν V: ἀναγέννησιν vr: ἀναγένεσιν a: αὖ propter hiatum recipi nequit: αὖ νέαν γένεσιν Diels: τιν' ἀναγέννησιν Buecheler κόσμου συνίστασθαι LPvr: συνίστασθαι κόσμου V: τοῦ κόσμου συνίστασθαι a: κόσμου ἵστασθαι M 12 δέ τις] τις om. L 13 τὴν διακόσμησιν] τὴν om. PM τὴν ἐκπύρωσιν L: τῆς ἐκπυρώσεως VMP 15 μήποτ' PM: μήποτε V: μηδέποτε L: cf. ind. ἀγέννητον VPM 16 καταγίνωσκε ra 17 χειροκμήτων LVE: χειροτμήτων PM οὐδὲν om. a ὁρατὸν θεὸν] ἔργον θεοῦ E 18 τι ἄλλο M πλανητῶν (sic) LV 19 πάνθειον Mangey: πὰν θεῖον libri ἔλεγεν L: ἔλεγε VPM καὶ ante κατακερτ. add. Turneb. 20 πνεύμασιν libri: ῥεύμασιν Bernays, sed cf. ind. s. v. πνεῦμα 21. p. 5,1 ἐπικρέμασθαι Diels cf. ind.: ἐπικεκρεμάσθαι LPM: ἐπικρεμάσαι V

---

14 Aristotelis fragm. ed. V. Rose Lips. 1886 p. 32,26. n. 18; cf. Bernays Dialog. des Aristot. s. 101.

μασθαι μείζονα πρὸς τῶν τὸν ἅπαντα κόσμον τῷ λόγῳ καθαιρούντων'. ἔνιοι δ' οὐκ 'Αριστοτέλην τῆς δόξης εὑρετὴν λέγουσιν ἀλλὰ τῶν Πυθαγορείων τινάς. ἐγὼ δὲ καὶ 'Οκέλλου συγγράμματι, Λευκανοῦ γένος, ἐπιγραφομένῳ Περὶ τῆς τοῦ παντὸς φύσεως ἐνέτυχον, ἐν ᾧ ἀγένητόν τε καὶ ἄφθαρτον οὐκ ἀπεφαίνετο μόνον ἀλλὰ καὶ δι' ἀποδείξεων κα|τεσκεύαζε 490 M. τὸν κόσμον εἶναι.

Γενητὸν δὲ καὶ ἄφθαρτόν φασιν ὑπὸ Πλάτωνος ἐν Τιμαίῳ δηλοῦσθαι διὰ τῆς θεοπρεποῦς ἐκκλησίας, ἐν ᾗ λέγεται πρὸς τοὺς νεωτέρους θεοὺς ὑπὸ τοῦ πρεσβυτάτου καὶ ἡγεμόνος· 'θεοὶ θεῶν, ⟨ὧν⟩ ἐγὼ δημιουργὸς πατήρ τε ἔργων ἄλυτα ἐμοῦ μὴ θέλοντος. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν, τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ. διὸ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ οὐδ' ἄλυτοι τὸ πάμπαν, οὔτι γε μὴν λυθήσεσθέ γε, οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι | δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων, οἷς ὅτε ἐγίγνεσθε συνεδεῖσθε.' 224 B. τινὲς δ' οἴονται σοφιζόμενοι κατὰ Πλάτωνα γενητὸν λέγεσθαι τὸν κόσμον οὐ τῷ λαβεῖν γενέσεως ἀρχήν, ἀλλὰ τῷ, εἴπερ ἐγίγνετο, μὴ ἂν ἑτέρως ἢ τὸν εἰρημένον συστῆναι τρόπον, ἢ διὰ τὸ ἐν γενέσει καὶ μεταβολῇ τὰ μέρη θεωρεῖσθαι. βέλτιον δὲ καὶ ἀληθέστερον ὑπονοεῖν τὸ πρότερον, οὐ μόνον ὅτι διὰ παντὸς τοῦ συγγράμματος πατέρα μὲν καὶ ποιητὴν καὶ δημιουργὸν τὸν θεοπλάστην ἐκεῖνον καλεῖ, ἔργον δὲ καὶ ἔγγονον τουτονὶ τὸν κόσμον, ἀπ ἀρχετύπου ⟨καὶ⟩ νοητοῦ παραδείγματος μίμημα αἰσθητόν, πάνθ' ὅσα

---

1 τῶν τὸν] τῶν om. VL 2 ἔνιοι δέ L Ἀριστοτέλην VPM: ἀριστο$^{τλ'}$ L: ἀριστοτέλη Turneb. ἀλλὰ καὶ Turneb. 2. 3 Πυθαγορείων PM: Πυθαγορίων L: Πυθαγορειων (ι superscr.) V 3 'Οκέλλου V: ὀκέλλου LPM συγγράμματι VPM: γράμς (sic) L 3. 4 ἐπιγραφομένου L 4 περὶ LVP^{2}: παρὰ LP^{1} ἀγένητον L: ἀγέννητον VPM 5 μόνον Turneb.: μὲν οὖν libri ἀποδείξεων LV: ἀποδείξεως PM 7 γένητον LE: γέννητον VPM δὲ καὶ VPM: τε καὶ L ἐν Τιμαίῳ VPM: in marg. L^{1} 9 θεοὶ θεῶν ὧν ἐγὼ Turneb. e Platone: θεὸς θεῶν ἐγὼ libri 10 ἐμοῦ μὴ] ἐμοῦ γε V οὖν δὴ Turn. e Plat.: οὖν μὴ libri πᾶν λυτόν] πάνλυτον V 10. 11 τό γε] τό τε V 11 διὸ] διὰ V 12 τῶν πάμπαν L 13 λυθήσεσθαι L 14 ἐκείνων LV: ἐκείνου P: ἐκείνῳ M οἷς ὅτε PM: οἷς ὄντες VL συνεδεῖσθε Turneb. e Platone: συνέδησθε PM: συνεδη^{ε}σθαι V: συνδέδεσθε L 15 τινὲς δ' PM: τίνες δὲ V: τινὲς δὲ LE γενητὸν L: γεννητὸν VPM τὸν κόσμον] τὸν om. V 16 τὸ λαβεῖν L τὴν γενέσεως a ἀρχὸν L 17 συστῆσαι a ἢ διὰ] ἢ om. P 19 συγγράματος L 20 ἐκείνων a καλεῖ, ἔργον Bernays: καλλίεργον LVE: φησὶ καλλίεργον PM τουτουὶ Bernays 21 καὶ νοητοῦ Mangey, cf. testim.: νοητοῦ LVPMar: μιμητοῦ v

---

3 Ocellus § 2 Δοκεῖ γάρ μοι τὸ πᾶν ἀνώλεθρον εἶναι καὶ ἀγέννητον· ἀεί τε γὰρ ἦν καὶ ἔσται κ. τ. λ. 7 Plato Tim. 41 A. 21 De opif. mundi 4 (4,18 C.) προλαβὼν ὁ θεὸς ὅτι μίμημα καλὸν οὐκ ἄν ποτε γένοιτο δίχα καλοῦ παραδείγματος, οὐδέ τι τῶν αἰσθητῶν

ἐν ἐκείνῳ νοητὰ περιέχοντα αἰσθητὰ ἐν αὑτῷ, τελειοτάτου πρὸς νοῦν
τελειότατον ἐκμαγεῖον πρὸς αἴσθησιν, ἀλλ' ὅτι καὶ Ἀριστοτέλης ταῦτα
μαρτυρεῖ περὶ Πλάτωνος, διὰ τὴν τῆς φιλοσοφίας αἰδῶ μηδὲν ἂν ψευσά- 10
μενος, καὶ διότι πιστότερος οὐδεὶς ὑφηγητῇ γνωρίμου μαρτυρεῖν καὶ μά-
λιστα τοιούτου, ὃς οὐ πάρεργον ἔθετο παιδείαν ἀψικόρῳ ῥαθυμίᾳ, προσυ-
περβαλεῖν δὲ σπουδάσας τὰς τῶν | παλαιῶν εὑρέσεις ἔνια τῶν ἀναγκαιο- 225 B.
τάτων εἰς ἕκαστον φιλοσοφίας μέρος καινοτομήσας προσεξεύρετο.

5. Πατέρα δὲ τοῦ Πλατωνείου δόγματος ἔνιοι νομίζουσι τὸν ποιη-
τὴν Ἡσίοδον, γενητόν τε καὶ ἄφθαρτον οἰόμενοι τὸν κόσμον ὑπ' ἐκείνου
λέγεσθαι, γενητὸν μέν, ὅτι φησὶν

ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα
γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεί, 5

ἄφθαρτον δὲ ὅτι διάλυσιν καὶ φθορὰν οὐ μεμήνυκεν αὐτοῦ. χάος δ'
ὁ μὲν Ἀριστοτέλης τόπον οἴεται εἶναι, ὅτι τὸ δεξόμενον ἀνάγκη προϋπο-
κεῖσθαι σώματι, τῶν δὲ Στωικῶν ἔνιοι τὸ ὕδωρ, παρὰ τὴν χύσιν τοὔνομα
πεποιῆσθαι νομίζοντες. ὁποτέρως δ' ἂν ἔχοι, τὸ γενητὸν εἶναι τὸν κόσμον
ἐναργέστατα παρ' Ἡσιόδῳ μεμήνυται. μακροῖς δὲ χρόνοις πρότερον ὁ τῶν
Ἰουδαίων νομοθέτης Μωϋσῆς γενητὸν καὶ | ἄφθαρτον ἔφη τὸν κόσμον ἐν 491 M.
ἱεραῖς βίβλοις· εἰσὶ δὲ πέντε ὧν τὴν πρώτην ἐπέγραψε Γένεσιν, ἐν ᾗ ἄρ- 11

1 ἐν ἐκείνῳ] ἐν om. PME περιέχονται v αἰσθητὰ om. M αὑτῷ Turneb: ἑαυτῷ P: αὐτῷ LVM τελειοτάτου PM: τελειότατον E (ον et accent. in ras.) L: τελειότατα V νοῦν PM cf. testim.: νοῦ LVE 2 τελειότητα E ταῦτα] ταὐτὰ coni. Mangey ad. Epitom. 3 περὶ] παρὰ PM 3. 4 ψευσάμενος om. spatio IV litt. relicto L 4 ὑφηγητῇ Bernays: ὑφηγητὴς libri γνωρίμου VPM: γνωρίμων L 5. 6 προςυπερβάλλειν Turneb. 6 ἔνια τῶν] ἐνὶ αὐτῶν (in marg. καὶ ἐνιαυτῶν) V 7 προςεξεύρατο V 8 Πλατωνείου LV: Πλατωνικοῦ MPE 8. 9 ποιητήν om. MP 9 γενητόν τε καὶ L: γεννητὸν καὶ VMP: γενητὸν καὶ E ὑπ' ἐκείνου] ἐπ' ἐκείνου L οἰόμενον a 10 γενητόν LE: γεννητόν VPM 11 γένετ E Turneb.: ἐγένετο LVM et ante ras. P 12 γαῖ' E Turneb.: γαῖα LVPM εὐρύσθενος V εἶδος M 13 φθορὰς E μεμύνηκεν M, et L sed corr. L[1] 13. 14 δ' ὁ] δὲ ὁ VE 14 εἶναι om. a 16 γενητὸν LE: γεννητὸν VMP 17 μεμύνηται M Ἡσιόδου va Μωϋσῆς VPM (haec est forma Philoniana): Μωσῆς E: om. L 18 γενητὸν LE: γεννητὸν VPM ἔφη e corr. L[1] (ex εἶναι L[s], ex ἔγνω L[h]) 19 ὧν om. LV

ἀνυπαίτιον ὃ μὴ πρὸς ἀρχέτυπον καὶ νοητὴν ἰδέαν ἀπεικονίσθη . . . βουληθεὶς τὸν ὁρατὸν κόσμον δημιουργῆσαι προεξετύπου τὸν νοητὸν . . . τοσαῦτα περιέξοντα αἰσθητὰ γένη ὅσαπερ ἐν ἐκείνῳ νοητά. De septen. 19 (II 193 M.) ὁ κόσμος τῆς πρώτης ἀρχῆς ἐκμαγεῖον ἐστίν, ἀπ' ἐκείνης ὥσπερ ἀρχετύπου σφραγῖδος τυπωθείς 1 De opif. m. 4 (4,7 C.) τὸν κόσμον τελειότατον ὄντα τῶν γεγονότων et passim 2 De congr. erud. gr. 24 (I 540 M.) ὃ γὰρ νοῦς πρὸς αἴσθησιν, τοῦτ' ἐπιστήμη πρὸς τέχνην ἐστί 11 Hesiod. Theogon. 116 14 Arist. Phys. IV 1 p. 208b,32) 19 De Abrah. 1,1 (II 1 M.) τῶν ἱερῶν νόμων

χεται τὸν τρόπον τοῦτον· 'ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος', εἶτα προελθὼν ἐν τοῖς ἔπειτα μηνύει πάλιν ὅτι ἡμέραι καὶ νύκτες καὶ ὧραι καὶ ἐνιαυτοὶ | σελήνη 226 B. τε καὶ ἥλιος, οἳ χρόνου μετρήσεως φύσιν ἐδέξαντο, μετὰ τοῦ παντὸς οὐρανοῦ μοίρας ἀθανάτου λαχόντες διατελοῦσιν ἄφθαρτοι.

Τοὺς δὲ ἀγένητον καὶ ἄφθαρτον κατασκευάζοντας λόγους, ἕνεκα τῆς πρὸς τὸν ὁρατὸν ⟨θεὸν⟩ αἰδοῦς, προτέρους τακτέον οἰκείαν ἀρχὴν λαβόντας· ἅπασι τοῖς φθορὰν ἐνδεχομένοις αἰτίαι διτταὶ τῆς ἀπωλείας, ἡ μὲν ἐντός, ἡ δὲ ἐκτὸς προϋπόκεινται. σίδηρον γοῦν καὶ χαλκὸν καὶ τὰς τοιουτοτρόπους οὐσίας εὕροις ἂν ἀφανιζομένας ἐξ ἑαυτῶν μέν, ὅταν ἑρπηνώδους νοσήματος τρόπον ἰὸς ἐπιδραμὼν διαφάγῃ, πρὸς δὲ τῶν ἐκτός, ὅταν ἐμπιπραμένης οἰκίας ἢ πόλεως συναναφλεχθεῖσαι τῇ πυρὸς βιαίῳ ῥιπῇ διαλυθῶσιν· ὁμοιοτρόπως δὲ καὶ ζῴοις ἐπιγίνεται τελευτή, νοσήσασι μὲν ἐξ ἑαυτῶν, ὑπὸ δὲ τῶν ἐκτός, σφαττομένοις ἢ καταλευομένοις ἢ ἐμπιπραμένοις ἢ θάνατον οὐ καθαρὸν τὸν δι' ἀγχόνης ὑπομένουσιν. εἰ δὲ φθείρεται καὶ κόσμος, ἐξ ἀνάγκης ἤτοι ὑπό τινος τῶν ἐκτὸς ἢ πρός τινος τῶν ἐν αὐτῷ διαφθαρήσεται δυνάμεων· ἀμήχανον δ' ἑκάτερον. ἐκτὸς μὲν γὰρ οὐδέν ἐστι τοῦ

---

5 ση· γ' εἰς τὸν Νῶε in marg. V 6 ἀγένητον Lvr: ἀγέννητον VPMa κατασκευάζοντας λόγους om. V 6. 7 τῆς πρὸς] τοῦ πρὸς V 7 τὸν ὁρατὸν θεὸν Bernays cf. p. 4,17. 23,14. 33,6: τὸν ὁρατὸν V: τὸ ὁρατὸν LPM αἰδοῦς PM: ἀειδοῦς LV προτέρους τακτέον LE: τακτέον προτέρους VPM οἰκείαν] fort. ὁσίαν ut 4,15. 25,2, sed cf. etiam 15,12 8 ἅπασι δὲ E 9 γοῦν LVE: οὖν PM χαλκοῦν M 10 ἑρπινώδους V νοσήματα L 11 διαφάγοι E πρὸς δὲ τὸν L 12 τῇ πυρὸς] τοῦ πυρὸς v ῥιπῇ LP: ῥοπῇ VME 13 νοσήμασι VE καταλευομένοις Mangey (p. 688): καὶ λευομένοις V: καὶ κελευομένοις L: καὶ λευκομένοις E: om. PM ἐμπιπραμένοις] καταπραμένοις P 15 δὲ φθείρεται LE: δὴ φθείρεται V: διαφθείρεται PM κόσμος] ὁ κόσμος E 16. 17 διαφθαρήσεται LVE: φθαρήσεται PM 17 δὲ ἑκάτερον L

ἐν πέντε βίβλοις ἀναγραφέντων ἡ πρώτη καλεῖται καὶ ἐπιγράφεται Γένεσις, ἀπὸ τῆς τοῦ κόσμου γενέσεως 1. 2 Genes. 1,1 4 cf. Genes. 1,14 5 Genes. 8,22 6 cf. Arist. fragm. ed. Rose Lips 1886 p. 33,11 n. 19 10 de concup. 1 (II 349 M.) καθάπερ ἡ λεγομένη παρὰ τοῖς ἰατροῖς ἑρπηνώδης νόσος οὐκ ἐφ' ἑνὸς ἵσταται χωρίου 14 seq. De mut. nomin. 8 (I 587 M.) ... ἐπ' ἀγχόνην ᾖξεν ἵν' ὁ μιαρὸς καὶ δυσκάθαρτος μηδὲ καθαρῷ θανάτῳ τελευτήσῃ 15 seq. Ocellus Lucanus I § 13 εἰ δὲ καὶ δοξάζοι τις αὐτὸ (sc. τὸ πᾶν) φθείρεσθαι, ἤτοι ὑπό τινος τῶν ἔξω τοῦ κόσμου φθαρήσεται δυναστευόμενον (cf. infra p. 26,5), ἢ ὑπό τινος τῶν ἐντός· οὔτε δὲ ὑπό τινος τῶν ἔξωθεν· ἐκτὸς γὰρ τοῦ παντὸς οὐδέν· τὰ γὰρ ἄλλα πάντα ἐν τῷ παντί, καὶ τὸ ὅλον καὶ τὸ πᾶν ὁ κόσμος· οὔτε ὑπὸ τῶν ἐν αὐτῷ· δεήσει γὰρ ταῦτα μείζονά τε καὶ δυναμικώτερα εἶναι τοῦ παντός· τοῦτο δὲ οὐκ ἀληθές· ἄγεται γὰρ τὰ πάντα ὑπὸ τοῦ παντός, (cf. 8,12) ..... εἰ δὲ οὔτε ὑπό τινος τῶν ἔξωθεν, οὔτε ὑπό τινος τῶν ἔνδοθεν φθαρήσεται τὸ πᾶν, ἄφθαρτος ἄρα καὶ ἀνώλεθρος ὁ κόσμος.

κόσμου, πάντων εἰς ¦ τὴν συμπλήρωσιν αὐτοῦ συνερανισθέντων. οὕτως γὰρ 227 B.
εἷς τε ἔσται καὶ ὅλος καὶ ἀγήρως· εἷς μὲν διὰ τὸ ἀπολειφθέντων τινῶν
ἕτερον ἂν τῷ νῦν ὄντι γενέσθαι ὅμοιον· ὅλος δὲ ἕνεκα τοῦ σύμπασαν τὴν
οὐσίαν εἰς αὐτὸν ἐξανηλῶσθαι· ἀγήρως δὲ καὶ ἄνοσος, ἐπειδὴ τὰ νόσοις
καὶ γήρᾳ σώματα ἁλωτὰ θερμότησι καὶ ψύξεσι καὶ ταῖς ἄλλαις ἐναντιότησι
προσεπιπιπτούσαις ἔξωθεν ἰσχυρῶς ἀνατρέπεται, ὧν οὐδεμία δύναμις ἀπο-
δράσασα κυκλοῦται καὶ ἐπιτίθεται, πασῶν, μηδενὸς ἀποστατοῦντος μέρους,
ὁλοκλήρων ἐγκατειλημμένων εἴσω. εἰ δ' ἄρα τί ἐστιν ἐκτός, πάντως ἂν
εἴη κενόν, ἡ ἀπαθὴς φύσις, ἣν ἀδύνατον παθεῖν τι ἢ δρᾶσαι. καὶ μὴν
οὐδὲ ὑπό τινος αἰτίας διαλυθήσεται τῶν ἐντὸς αὐτοῦ· πρῶτον μέν, ἐπειδὴ
τοῦ ὅλου τὸ μέρος καὶ μεῖζον ἔσται καὶ κραταιότερον, ὅπερ ἐστὶν ἀτοπώ-
τατον· ὁ γὰρ κόσμος ἀνυπερβλήτῳ κράτει ¦ χρώμενος ἄγει τὰ πάντα μέρη, 492 M.
πρὸς μηδενὸς αὐτῶν ἀγόμενος· ἔπειτα, διότι διττῶν οὐσῶν φθορᾶς αἰτιῶν τῆς
μὲν ἐντὸς τῆς δ' ἐκτός, ἃ τὴν ἑτέραν οἷά τε ὑπομένειν, δεκτικὰ καὶ τῆς
ἑτέρας ἐστὶ πάντως. σημεῖον δέ· βοῦς καὶ ἵππος καὶ | ἄνθρωπος καὶ τὰ παρα- 228 B.
πλήσια ζῷα διότι πέφυκεν ἀναιρεῖσθαι ὑπὸ σιδήρου, καὶ νόσῳ τελευτήσει.
χαλεπὸν γὰρ μᾶλλον δ' ἀδύνατον εὑρεῖν, ὅ τι τὴν ἔξωθεν αἰτίαν πεφυκὸς
ὑπομένειν τῆς φθορᾶς ἄδεκτον ἔσται | κατὰ τὸ παντελὲς τῆς ἔνδοθεν. ἐπειδὴ 497,8 M.

---

1 οὕτως LV: οὕτω PME   2 τε ἔσται Turneb.: τοι ἔσται LVPM: τε ἐστι E   καὶ ἀγήρως] καὶ om. L   3 ὅλως M   4 αὐτὸν Turneb.: ἑαυτὸν LPM: αὐτοῦ V   τὰ νόσοις om. V   5 ψυχρότησι V   ἐναντιώσεσι VE   6 προσεπιπιπτούσαις LPM: πρόσεπιπτούσαις E: προσε(μ)πιπτούσαις e corr. V   ἀποδράσασα LVPM cf. Lobeck. Phrynich. p. 737 [Buecheler]: ἀποδρᾶσα E et Turneb.   7 πασῶν coni. Mangey: παθῶν libri   ἀποστατοῦντος LVE: ἀποστάντος PM   ἅτε ante μηδενὸς suppl. Mangey   8 ὁλοκλήρων] ἀλλ' ὁλοκλήρων E   ἆρα V   τί ἐστιν] τίς ἐστιν P   παντὸς L   9 κενὸς E   ἡ ἀπαθὴς LVE: ἢ ἀπαθὴς P: ἢ ἡ ἀπαθὴς M   10 πρῶτον v Mangey: πρότερον LVMra   11 τοῦ ὅλου τὸ μέρος VPME: τὸ ὅλον τοῦ μέρους L, quod defendit Buecheler qui ante ὅπερ suppl. ἀλλ' οὐ τοῦ ὅλου τὸ μέρος   Verba ἔσται ... ὅπερ iteravit M   12 πάντα μέρη VE, cf. testim. ad 7,15: μέρη (om. πάντα) LPM   13 φθορᾶς LPM: τῶν φθορᾶς E: αὐτῶν φθορᾶς V   14 δ' ἐκτὸς V: δὲ ἐκτὸς LPME   οἷά τε Mangey: οἴεται libri   17 χαλεπὸν μὲν γὰρ V   ὅ τι τὴν Buecheler: νοητὴν LV: ὃ τὴν νοητὴν PM   δ' ἀδύνατον V: δὲ ἀδύνατον VPM   18 τοῖς ἔνδοθεν M

---

1 seq. De plant. Noe c. 2 (I p. 331 M.) σῶμα μὲν οὐδὲν ἀπολειφθὲν εἰκὸς ἔξω πλανᾶσθαι, πᾶσαν τὴν δι' ὅλων ὕλην ἐργασαμένου καὶ διακοσμήσαντος θεοῦ· τελειότατον γὰρ ἥρμοττε τὸ μέγιστον τῶν ἔργων τῷ μεγίστῳ δημιουργῷ διαπλάσασθαι. (cf. 6, 2. 9, 10 etc.), τελειότατον δὲ οὐκ ἂν ἦν, εἰ μὴ τελείοις συνεπληροῦτο μέρεσιν, ὥστε ἐκ γῆς ἁπάσης καὶ παντὸς ὕδατος καὶ ἀέρος καὶ πυρός, μηδενὸς ἔξω μηδὲ τοῦ βραχυτάτου καταλειφθέντος, συνέστη ὅδε ὁ κόσμος. ἀνάγκη τοίνυν ἐκτὸς ἢ κενὸν ἢ μηδὲν εἶναι ...   3 De opif. mundi c. 61 (66,21) ὅλον γὰρ οὐκ ἂν ἦν, εἰ μὴ ἐξ ὅλων ἐπάγη καὶ συνέστη τῶν μερῶν ...

τοίνυν ὑπ' οὐδενὸς τῶν ἐκτὸς φθαρησόμενος ἐδείχθη ὁ κόσμος, τῷ μηδὲν ἔξω καταλελεῖφθαι πάντως, οὐδ' ὑπό τινος τῶν ἐν αὐτῷ, διὰ τὴν προεπιλογισθεῖσαν ἀπόδειξιν, καθ' ἣν τὸ ἁλωτὸν τῇ ἑτέρᾳ τῶν αἰτιῶν καὶ τὴν ἑτέραν ἐπεφύκει δέχεσθαι.

6. Μαρτύρια δὲ καὶ τὰ ἐν Τιμαίῳ περὶ τοῦ τὸν κόσμον ἄνοσον εἶναι καὶ μὴ φθαρησόμενον τάδε· 'τῶν δὲ δὴ τεττάρων ἓν ὅλον ἕκαστον εἴληφεν ἡ τοῦ κόσμου σύστασις. ἐκ γὰρ πυρὸς παντὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς συνέστησεν αὐτὸν ὁ συνιστάς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολιπών, τάδε διανοηθείς· πρῶτον μέν, ἵνα ὅλον ὅτι μάλιστα ζῷον, τέλειον ἐκ τελείων μερῶν εἴη· πρὸς δὲ τούτοις ἕν, ἅτε οὐχ ὑπολελειμμένων ἐξ ὧν ἄλλο τοιοῦτον γένοιτ' ἄν. ἔτι δέ, ἵνα ἀγήρων καὶ ἄνοσον ᾖ, κατανοῶν ὡς συστάτῳ σώματι θερμὰ καὶ ψυχρὰ καὶ πάνθ' ὅσα δυνάμεις ἰσχυρὰς ἔχει, περιιστάμενα ἔξωθεν καὶ προσπίπτοντα ἀκαίρως λυπεῖ καὶ | νόσους καὶ γῆρας ἐπάγοντα φθίνειν ποιεῖ. διὰ τὴν αἰτίαν καὶ τὸν λογισμὸν 229 B. τόνδε θεὸς ὅλον ἐξ ὅλων ἁπάντων τέλειον καὶ ἀγήρων καὶ ἄνοσον αὐτὸν ἐτεκτήνατο.' τοῦτο μὲν δὴ παρὰ Πλάτωνος πρὸς τὴν ἀφθαρσίαν τοῦ κόσμου μαρτύριον εἰλήφθω, τὸ δ' ἀγένητον παρὰ τῆς φυσικῆς ἀκολουθίας· ἕπεται μὲν γὰρ τῷ γενομένῳ διάλυσις, ἀφθαρσία δὲ τῷ ἀγενήτῳ. ἐπεὶ καὶ ὁ τὸ τρίμετρον ἐκεῖνο ποιήσας

τό τοι γενόμενον κατθανεῖν ὀφείλεται

1 post τοίνυν add. ἡ σύνταξις· ἅτε μηδενὸς ὑπολειφθέντος μέρους ὡς βιασθῆναι PM: om. LV: exclus. Bernays (p. 211,4) cf. infra 23,20 2 ἔξω] ἔξωθεν v πάντων a 3. 4 καὶ τῇ ἑτέρᾳ L 5 μαρτύρια VPME cf. v. 17: μαρτυρία L τάδε] εἶναι M 6 τῶν δὲ (om. δή) V ἕκαστον om. L ὅλον post εἴληφεν pos. V 9 ἀπολιπών E 10 τελείων ·M ὑπολελειμμένων PMa: ὑπολελείμμενον Vvr: ὑπολελειμένων L 11 τοιοῦτον VE et Plato: τοιοῦτο LPM γένοιτο ἂν Bernays, errore ut vid. ἀγήρων PME: ἀγήρω LV 12 ὡς συστάτῳ sic Plato: ὡς συστατῷ Bernays: ὡς τὰ τῷ LPME: τὰ τῷ (om. ὡς) V πάντα r 13 ἔχει ἰσχυράς V καὶ περιιστάμενα E λυπεῖ LVPMvr: λύει a, quod apud Plat. quoque traditum est 14 λογισμὸν corr. ex λόγον V[1] τὴν αὐτὴν αἰτίαν E 15 ἁπάντων om. PM ἀγηρων P: ἀγείρων M: ἀγήρω LVE 16 ἐτεκτήναντο E παρὰ] περὶ V ἀφθαρσίαν] ἁμαρτίαν M 17 εἰλήφθαι (ἡ ex ῆ corr.) L ἀγένητον LE: ἀγέννητον VPM ἀκολουθίας Mangey cf. 10,1. 32,3. 34,8: ἀληθείας libri 18 ἀγεννήτῳ libri 19 τρίμερον L 20 κατθανεῖν LPE: καταθανεῖν M: κατακτανεῖν V

5 Plato Tim. 32 c. 20 versus ignoti poetae. — Quod omnis prob. lib. 3 (II 448 M.) ἐπαινεῖται παρά τισιν ὁ ⟨τὸ⟩ τρίμετρον ἐκεῖνο ποιήσας· τίς ἐστι κτλ. ... ὡς μάλα συνιδὼν τὸ ἀκόλουθον

δοκεῖ μὴ ἀπὸ σκοποῦ, συνεὶς ἀκολουθίαν τῶν αἰτιῶν ⟨τῆς γενέσεως καὶ⟩ τῆς φθορᾶς, ὧδ' εἰπεῖν.

Ἑτέρως δ' ἐστὶ τοιόνδε· | πάνθ' ὅσα τῶν συνθέτων φθείρεται, διάλυσιν 498 M. εἰς τὰ ἐξ ὧν συνετέθη λαμβάνει· διάλυσις δ' οὐδὲν ἦν ἄρα ἢ πρὸς τὸ κατὰ φύσιν ἑκάστων ἐπάνοδος, ὥστε κατὰ τοὐναντίον ἣ σύνθεσις εἰς τὸ 10 παρὰ φύσιν τὰ συνελθόντα βεβίασται. καὶ δὴ τάδ' οὕτως ἔοικεν ἀψευδέστατα ἔχειν. ἄνθρωποι γὰρ ἀπὸ τῶν τεττάρων στοιχείων, ἃ δὴ ὅλα τοῦ παντός ἐστιν [οὐρανοῦ], γῆς, ⟨ὕδατος⟩, ἀέρος τε καὶ πυρός, βραχέα τὰ μέρη δανεισάμενοι συνεκράθημεν. τὰ δ' ἀνακραθέντα τῆς | κατὰ φύσιν 240 B. θέσεως ἐστέρηται, θερμότητος μὲν τῆς ἀνωφοίτου κατω⟨σθείσης⟩ τῆς δὲ

1 μὴ] μὲν ra: μὲν μὴ v   ἀλλ' ἀκολουθίαν E   συνεὶς Bernays, cf. 34,7. et testim. p. 9,20: συνθεὶς libri   ῾τῶν αἰτιῶν om. PME   1. 2 τῆς γενέσεως καὶ add. Bernays   ὧδ' εἰπεῖν scripsi cf. 32,17. 18: ὢ δ' ἔχει ME: ὧδε ἔχει LP: ὧδε ἔχῃ V: ὧδ' ἔχειν Turneb.: ⟨καὶ γενέσεως ὁμολογεῖν ὅτι⟩ ὧδ' ἔχει cet. servatis Buecheler   3 δ' ἐστὶ VPM: δέ ἐστι LE   ἑτέρῳ E   τοιοῦτον v   4. 5 τὸ κατὰ Buecheler: τὰ κατὰ PM: τὴν κατὰ LVE   5 ὥστε om. in lac. IV litt. L: ὥσπερ Buecheler   τὸ ἐναντίον v   ἣ Diels: ἡ libri: ᾗ Rose (Arist. fr. ed. Lips 1886 p. 35,8)   6 βεβίαται M   δὴ τάδ' Buecheler: δῆτα libri   8 ἐστι L   οὐρανοῦ inclusi sed videtur esse emendata lectio vocis πυρὸς, cf. testim. ultima   ὕδατος add. Bernays   8. 9 τὰ μέρη] μέρη (om. τὰ) E: κατὰ φύσιν μέρη Mangey errore typothetae cf ad v. 9.10   9 συνεκράθησαν E   9. 10 κατὰ φύσιν θέσεως LVE: κατὰ φύσεως PM: κινήσεως Turneb.   10 θερμότητος LP: θερμότης VME   ἀνωφύτου a   κατωσθείσης τῆς δὲ Diels, cf. 40,21. 24,3: κάτω δὲ τῆς libri: κάτω φερομένης vel βιασθείσης τῆς δὲ Bernays: ψυχρότης δὲ τῆς κάτω Turneb.

7 seq. Plat. Tim. 42 E (οἱ θεοί) λαβόντες ἀθάνατον ἀρχὴν θνητοῦ ζῴου, μιμούμενοι τὸν σφέτερον δημιουργὸν πυρὸς καὶ γῆς ὕδατός τε καὶ ἀέρος ἀπὸ τοῦ κόσμου δανειζόμενοι μόρια εἰς ταὐτὸν τὸ λαμβανόμενον συνεκόλλων Philo quis rerum div. sit heres c. 57 (I 513 M.) τινὲς δὲ πατέρας ὑπετόπασαν εἰρῆσθαι τὰς τέσσαρας ἀρχάς τε καὶ δυνάμεις ἐξ ὧν συνέστηκεν ὁ κόσμος, γῆν, ὕδωρ, ἀέρα καὶ πῦρ. εἰς γὰρ ταύτας ἕκαστον ῾τῶν γενομένων φασὶν ἀναλύεσθαι δεόντως. καθάπερ γὰρ ὀνόματα καὶ ῥήματα καὶ τὰ λόγου μέρη συνέστηκε μὲν ἐκ τῶν τῆς γραμματικῆς στοιχείων, ἀναλύεται δὲ πάλιν εἰς ἔσχατα ἐκεῖνα· τὸν αὐτὸν τρόπον ἕκαστος ἡμῶν συγκραθεὶς ἐκ τῶν τεσσάρων καὶ ἀφ' ἑκάστης οὐσίας δανεισάμενος μικρὰ μόρια καθ' ὡρισμένας περιόδους καιρῶν ἐκτίνει τὸ δάνειον, εἰ μέν τι ξηρὸν ᾖ, ἐπιδιδοὺς γῇ, εἰ δέ τι ὑγρόν, ὕδατι, εἰ δὲ ἔνθερμον, πυρί, εἰ δὲ ψυχρόν, ἀέρι, τὰ μὲν σωματικὰ ταῦτα, τὸ δὲ νοερὸν καὶ οὐράνιον τῆς ψυχῆς γένος, πρὸς αἰθέρα τὸν καθαρώτατον ὡς πρὸς πατέρα ἀφίξεται. πέμπτη γὰρ ὡς ὁ τῶν ἀρχαίων λόγος, ἔστω τις οὐσία κυκλοφορητικὴ τῶν τεσσάρων κατὰ τὸ κρεῖττον διαφέρουσα, ἐξ ἧς οἵ τε ἀστέρες καὶ ὁ σύμπας οὐρανὸς ἔδοξε γεγενῆσθαι, Cf. De opif. mundi c. 51 (p, 55, 19 C.), De poster. Caini 2 (I 227), De somniis I c. 3 (I 623 M.) τεττάρων ὄντων ἐξ ὧν συνέστηκεν ὅδε ὁ κόσμος καὶ ἐν ἡμῖν αὐτοῖς ἰσαρίθμων ... ἐν μὲν οὖν τῷ κόσμῳ γῆν καὶ ὕδωρ καὶ ἀέρα καὶ οὐρανὸν τέτταρα εἶναι ταῦτα συμβέβηκεν. Vita Mosis II 7 (II 140 M.) ... τῶν τῆς φύσεως μέρων γῆς, ὕδατος, ἀέρος, οὐρανοῦ et Vita Mosis I 20 (II 98 M.); De septem 3 (II 279 M.) γῆν καὶ θάλατταν καὶ ἀέρα καὶ οὐρανόν.

γεώδους καὶ βάρος ἐχούσης οὐσίας ἐπελαφρισθείσης καὶ τὸν ἄνω τόπον ἀντιλαβούσης, ὥστε τὸ γεωδέστατον τῶν ἐν ἡμῖν ἐπέσχηκεν ⟨ἐν⟩ κεφαλῇ· δεσμῶν δὲ φαυλότατος ὂν ἔσφιγξε βία, βαιὸς καὶ ὀλιγοχρόνιος. ῥήγνυται γὰρ θᾶττον ὑπὸ τῶν δεθέντων, ἅτε ἀπαυχενιζόντων διὰ πόθον [ὑπὸ] τῆς κατὰ φύσιν κινήσεως, πρὸς ἣν σπεύδοντα μετανίσταται. κατὰ γὰρ τὸν τραγικὸν

χωρεῖ δ' ὀπίσω
τὰ μὲν ἐκ γαίας φύντ' ἐς γαῖαν
τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς
εἰς οὐράνιον πόλον ἦλθε πάλιν·
θνήσκει δ' οὐδὲν τῶν γιγνομένων,
διακρινόμενον δ' ἄλλο πρὸς ἄλλου
μορφὴν ἰδίαν ἀπέδειξεν.

τοῖς μὲν δὴ φθειρομένοις ἅπασι νόμος ἀναγέγραπται καὶ θεσμὸς οὗτος, ὁπότε μὲν ὑφέστηκε τὰ συνεληλυθότα ἐν τῇ κράσει, πρὸ τῆς κατὰ φύσιν τάξεως ἀταξίας ἀντιμετειληφέναι καὶ πρὸς τοὺς ἐναντίους τόπους μετανίστασθαι, ὡς τρόπον τινὰ ξενιτεύειν δοκεῖν, ὁπότε δὲ διαλύοιτο, πρὸς τὴν οἰκείαν τῆς φύσεως λῆξιν ἀνακάμπτειν.

7. Ὁ δὲ κόσμος ἀμέτοχος τῆς ἐν τοῖς λεχθεῖσιν ἀταξίας ἐστίν. ἐπεί, φέρε, | θεασώμεθα· φθειρομένου τὰ μέρη νυνὶ μὲν ἀνάγκη τετάχθαι 231 B.
τὴν παρὰ φύσιν ἕκαστα χώραν. τοῦτο δ' ὑπονοεῖν οὐκ εὐαγές· ἀρίστην γὰρ θέσιν καὶ τάξιν ἐναρμόνιον τὰ τοῦ κόσμου μέρη πάντα εἴληχεν, ὡς ἕκαστον καθάπερ πατρίδι φιλοχωροῦν μὴ ζητεῖν ἀμείνω μεταβολήν. διὰ

---

2 ἀντιλαβούσης VPME: ἐπιλαβούσης L ὥστε τὸ scripsi: ὧν τὸ LPME: ὃν τὸ V ἐπέσχηκεν L: ἐπέσχηκε V: ἐπέσχημεν M: ἐπέσχομεν P: ἐπέσχε E: ὧν ... ἐφέστηκεν κεφαλή coni. Buecheler, sed ἐπέχω (= morari, resistere) intelligitur, cf. ind. ἐν addidi κεφαλῇ P: κεφαλή LVME 3 θεσμῶν PM δὲ om. P βαιὸς restituit Mangey recte, cf. testim.: βίαιος libri 3. 4 ῥήγνυται μὲν γὰρ PM 4 ἀπαυχενιζόντων V: ἐπαυχενιζόντων LPME ὑπὸ del. Mangey 5 σπεύδοντα LVE: σπεύδοντες PM 8 γαίας VE: γαίης L: τῆς PM φύντες L 9 ἀπ' αἰθερίου Pa: ἀπ.. θρίου (αι in lac. om.) L: ἀπ' αἰθρίου VMvr βλαστόντα γονῆς Mangey (cf. Nauck.): βλαστάνοντα γῆς LVPM: βλαστάνοντα (om. γῆς) E 11 γιγνομένων E: γινομένων LVPM 12 δὲ ἄλλο L ἄλλου Nauck: ἄλλο libri 13 ἰδίαν libri cf. Nauck: ἑτέραν Mangey e 3, 12. 43, 5 ut vid. ἀπέδειξεν L: ἀπέδειξε VPME 16 μετειληφέναι PM πρὸς τὸ τοὺς a 20 ἐπεὶ δὲ L φέρε] ex φθεῖρε corr. L[1] 21 τὴν παρὰ PM: παρὰ VE: περὶ L δ' ὑπονεῖν V: δὲ ὑπονοεῖν LPME εὐαγές] ἀγεννές E 22 εἴληχε πάντα L πάντα om. E 23 μεταβολῇ Buecheler. sed cf. ind. s. v.

---

3 Quod Deus imm. 22 (I 288 M.) τὸ βίαιον ὀλιγοχρόνιον ὡς καὶ αὐτό που δηλοῖ τὸ ὄνομα παρὰ τὸ βαιὸν εἰρημένον· βαιὸν δὲ τὸ ὀλιγοχρόνιον ἐκάλουν οἱ παλαιοί 7 Euripides Chrysippos cf. supra 3, 12.

τοῦτο γῇ μὲν ὁ μεσαίτατος ἀπενεμήθη τόπος. ἐφ' ἣν πάντα τὰ γεώδη, κἂν ἀναρρίψῃς, καταφέρεται. τὸ δ' ἐστὶ ! σημεῖον χώρας τῆς κατὰ φύσιν· 499 M. ἔνθα γὰρ μὴ ὑπὸ βίας ὁτιοῦν ἐνεχθὲν ἵσταται καὶ ἠρεμεῖ, τὸν οἰκεῖον εἴληχε χῶρον. ὕδωρ δὲ ἐπὶ γῆν ἀνακέχυται δεύτερον, ἀὴρ δὲ καὶ πῦρ ἀπὸ τοῦ μέσου πρὸς τὸν ἄνω κεχώρηκεν, ἀὴρ μὲν τὸν μεθόριον ὕδατος καὶ πυρὸς κληρωσάμενος τόπον, πῦρ δὲ τὸν ἀνωτάτω. διὸ κἂν ἀναψάμενος δᾷδα πρὸς γῆν καταφέρῃς, ἡ φλὸξ οὐδὲν ἧττον ἀντιβιάσεται καὶ πρὸς τὴν φυσικὴν τοῦ πυρὸς κίνησιν ἐπικουφίσασα αὑτὴν ἀναδραμεῖται. εἰ δὴ φθορᾶς μὲν αἴτιον ἡ παρὰ φύσιν τάξις τῶν ἄλλων ἔχει ζῴων, ἐν δὲ τῷ κόσμῳ κατὰ φύσιν ἕκαστα τῶν μερῶν διατέτακται τὰς οἰκείας διακληρωσάμενα χώρας, ἐνδίκως ἂν λέγοιτο ὁ κόσμος ἄφθαρτος. ¦

Ἔτι τοίνυν ἐκεῖνο παντί τῳ δῆλον, ὅτι φύσις ἑκάστη διατηρεῖν καὶ 232 B. διασῴζειν, εἰ δ' οἷόν τε εἴη, καὶ ἀθανατίζειν ἕκαστα ὧν φύσις ἐστίν, ἐσπούδακεν, ἡ μὲν ἐν τοῖς δένδρεσι τὰ δένδρα, ἡ δ' ἐν τοῖς ζῴοις τῶν ζῴων ἕκαστον. ἐξασθενεῖ δ' ἡ ἐπὶ μέρους ἀναγκαίως ἄγειν πρὸς ἀιδιότητα· ἢ γὰρ ἔνδεια ἢ φλογμὸς ἢ κρυμὸς ἢ μυρία ἄλλα τῶν εἰωθότων ἐπισυνίστασθαι κατασκήψαντα διέσεισε καὶ διέλυσε τὸν συνέχοντα δεσμὸν καὶ τέλος κατέρρηξε· τοιοῦτον δ' εἰ μηδὲν ἐφήδρευεν ἔξω, κἂν ὅσον ἐφ' ἑαυτῇ ˙πάντα μικρά τε αὖ καὶ μεγάλα ἀγήρω διεφύλαττεν. ἀναγκαῖον οὖν καὶ τὴν τοῦ κόσμου φύσιν γλίχεσθαι τῆς τοῦ ὅλου διαμονῆς· οὐ γὰρ δὴ τῶν ἐπὶ μέρους ἐστὶ χείρων, ὡς ἀποδιδράσκουσα καὶ λιποτακτοῦσα νόσον ἀνθ' ὑγιείας καὶ φθορὰν ἀντὶ σωτηρίας παντελοῦς ἐπιχειρεῖν τεχνάζειν, ἐπειδὴ

πασάων ὕπερ ἥ γε κάρη ἔχει ἠδὲ μέτωπα,

---

1 γῇ μὲν ὁ] γῆν ὁ L   ἐφ' ἣν Turneb.: ἐφ' ἡ libri (oblitt. in P)   πάντα τὰ] τὰ om. LP   2 ἀναρρίψῃς PME: ἀναρρείψῃς L: ἀναρίψῃς V   κάτω φέρεται E   τότε δ' ἐστὶ PM   3 μὴ ὑπὸ] μὴ om. V   ὅτοιοῦν (sic) ἀνεχθὲν L   4 εἴληφε τόπον PM   ἀὴρ] γῆ V   5 τὸν ἄνω LVE: τὸ ᾇνω PM   6 fortasse τόπον post κεχώρηκεν transponendum   τὸν ἀνωτάτω LP: τὸν ἀνώτατον V: τῶν ἀνωτάτω M: τὸ ἀνώτατον E   κἂν ἀναψάμενος Mvr: καὶ ἂν ἀναψάμενος a: καὶ ἀναψάμενος L: κἂν ἁψάμενος VP cf. ind.   καταφερῇς] ex καταφέροις corr. L[1]   8 ἐπικουφίσασαν L   αὑτὴν Turneb.: αὐτὴν libri   9 τάξις in marg. V[2], coni. Buecheler. Cf. 11,16: κατὰ libri: κίνησις Turneb.   ἔχῃ M   10 τῶν μερῶν om. E   διακληρωσάμενοι M   12 παντί τῳ LVP: παντὶ τῷ M: παντί Turneb.   13 τε ἣν E   ἡ φύσις Turneb.   14 εἰ δ' ἐν L   15 δ' ἡ PM: δὲ ἡ LE: δὴ V   18 κατέρρηξεν V   18. 19 τοιοῦτον ... πάντα om. VE   18 δ' εἰ P: in δεῖ corr. L: δὲ εἰ M   ἐφήδρευεν PM: ἀφήδρευεν L   19 πάντα om. Turneb.   μικρή v   τε αὖ VPME cf. ind. s. v. πᾶς: τε οὖν L   διεφύλαττεν Turneb.: διαφυλάττειν libri   20 γλίχεσθε P   τοῦ ὅλου] τοῦ κόσμου a   21 μέρη E   λειποτακτοῦσα libri   22 ὑγιείας Lv: ὑγείας VPMar   23 ἥ γε] ἡ δὲ E

23 Hom. ζ 107

ῥεῖά τ' ἀριγνώτη πέλεται, καλαὶ δέ τε πᾶσαι.

ἀλλ' εἰ τοῦτ' ἀληθές ἐστι, φθορὰν ὁ κόσμος οὐ δέξεται. διὰ τί; ὅτι ἡ συνέχουσα φύσις αὐτὸν ἀήττητός ἐστι κατὰ πολλὴν ἰσχύος ῥώμην, τῶν ἄλλων ὅσα βλάπτειν ἔμελλεν ἁπαξαπάντων ἐπικρατοῦσα. διὸ καὶ Πλάτων εὖ 'ἀπῄει τε γάρ' φησιν 'οὐδὲν οὐδὲ | προσῄει αὐτῷ ποθέν· οὐδὲν γὰρ ἦν. 233 B. αὐτὸ γὰρ ἑαυτῷ τροφὴν τὴν ἑαυτοῦ φθίσιν παρέχον καὶ πάντ' ἐν ἑαυτῷ καὶ ὑφ' ἑαυτοῦ πάσχον καὶ δρῶν ἐκ τέχνης γέγονεν· ἡγήσατο γὰρ αὐτὸ ὁ συνθεὶς αὔταρκες ὂν ἄμεινον ἔσεσθαι μᾶλλον ἢ προσδεές.'

8. Ἀποδεικτικώτατός γε μὴν κἀκεῖνος ὁ λόγος ἐστίν, ἐφ' ᾧ μυρίους οἶδα σεμνυνομένους ὡς ἠκριβωμένῳ καὶ πάνυ ἀνεξελέγκτῳ. πυνθάνονται γάρ, τίνος ἕνεκα τὸν κόσμον φθείρει ὁ θεός. ἤτοι γὰρ | ὑπὲρ τοῦ μηκέτι 500 M. κοσμοποιῆσαι, ἢ ὑπὲρ τοῦ ἕτερον κατασκευάσαι. τὸ μὲν δὴ πρότερον ἀλλότριον θεοῦ· πρὸς τάξιν γὰρ ἀταξίαν μεταβάλλειν δέον, οὐ πρὸς ἀταξίαν τάξιν· εἶτα δ' ὅτι καὶ μετάνοιαν, πάθος καὶ νόσημα δέξεται ψυχῆς. ἔδει γὰρ μὴ κοσμοποιῆσαι τὸ παράπαν, ἢ κρίνοντα πρέπον αὐτῷ τὸ ἔργον χαίρειν τῷ γενομένῳ. τὸ δὲ δεύτερον ἄξιόν που βραχείας ἐρεύνης. εἰ γὰρ ἕτερον ἀντὶ τοῦ νῦν ὄντος κατασκευάσει, πάντως ὁ γενόμενος ἢ χείρων ἢ ὅμοιος ἢ κρείττων ἀποτελεσθήσεται· ὧν ἕκαστον ἐπίληπτον. εἰ μὲν γὰρ χείρων ὁ κόσμος, χείρων καὶ | ὁ δημιουργός. ἀμώμητα δὲ καὶ ἀνεξέλεγκτα καὶ ἀνεπανόρθωτα τὰ τοῦ θεοῦ τελειοτάτῃ τέχνῃ καὶ ἐπιστήμῃ δημιουργηθέντα· 'οὐδὲ' γὰρ 'γυνή' φασί 'τοσσόνδε νόου ἐπιδεύεται ἐσθλοῦ, ὥστε χερείον' ἑλέσθαι ἀμεινοτέρων.' ἐμπρεπὲς δὲ θεῷ τὰ ἄμορφα 234 B.

---

1 ῥεῖά τ' Mangey: ῥεῖά δ' libri 2 τοῦτο V 4 ἁπαξαπάντων LVE: ἁπάντων PM 5 ἀπῄειτε LE: ἀπίητε M: ἄπιτε V: oblitt. in P οὐδὲ L et Plato: οὔτε VMPrv: οὖν a προσῄει L: προσείη VEP: προσίη M: προσῄειν Plato οὐδὲ γὰρ ἦν Plato: om. VE 6 αὐτὸ E: αὐτὸς LVPM φθίσιν] φύσιν vr παρέχον e Platone Mangey: παρέχων libri πάντ' L: πάντα VPME 7 πάσχον Mangey: πάσχων libri post γέγονεν add. ἀρίστης E γὰρ om. E αὐτὸ PME: ex αὐτοῦ sive αὐτῷ corr. L[1]: αὐτὸς V 8 ξυνθεὶς Plato ὂν LVE: ἦν PM post προσδεὲς ex Plat. add. ἄλλων E et Mangey 10 ἠκριβωμένων L ἀνεξελέγκτων L 11 ἕνεκε L 13 μεταβαλεῖν coni. Diels 14 δέχεται r 15 γὰρ ἢ μὴ a 16 ἄξιόν που scripsi: ἄξιον οὐ libri 17 γινόμενος coni. Buecheler 17. 18 ἢ κρείττων ἢ ὅμοιος E 20 τελειοτάτῃ] τὰ τελειοτάτῃ L: ἅτε τελειοτάτῃ Bernays 21 οὐδὲ ..... ἀμεινοτέρων om. E φασὶ libri: φησὶ Mangey τοσόνδε PM ἐπιδεύεται PV: ἐπιτηδεύεται M: ἐπιλείπεται L 22 χερείον' Meineke: χέρειον libri post ἀμεινοτέρων om. Philo παρεόντων ἐμπρεπὲς LM: εὐπρεπὲς VE: oblitt. in P τῷ θεῷ V

---

4 Plato Tim. 33c. 13 Aristotelem ap. Cic. Acad. pr. II 38,119 confert Rose l. c. 37,3. 20 Versus ignoti poetae Bergk *Poet. lyr.* II 73 ed. 4; cf. Gomperz *Zeitschr. für österr. Gymnasien* (XVI) 1865 p. 817.

μορφοῦν καὶ τοῖς αἰσχίστοις περιτιθέναι θαυμαστὰ κάλλη. εἰ δ' ὅμοιος, ματαιοπόνος ὁ τεχνίτης, οὐδὲν κομιδῇ νηπίων παίδων διαφέρων, οἳ πολλάκις παρ' αἰγιαλοῖς ἀθύροντες ψάμμου γεωλόφους ἀνιστᾶσι κἄπειθ' ὑφαιροῦντες ταῖς χερσὶ πάλιν ἐρείπουσι. πολὺ γὰρ ἄμεινον τοῦ κατασκευάζειν ὅμοιον, μηδὲν μήτ' ἀφαιροῦντα μήτε προστιθέντα μηδ' αὖ πρὸς τὸ ἄμεινον ἢ χεῖρον μεταβάλλοντα, τὸν ἐξ ἀρχῆς ἅπαξ γενόμενον κατὰ χώραν ἐᾶν. εἰ δὲ κρείττονα δημιουργήσει, γενήσεται τότε κρείττων καὶ ὁ δημιουργός, ὥσθ' ἡνίκα τὸν πρότερον κατεσκεύαζε καὶ τὴν τέχνην καὶ τὴν διάνοιαν ἦν ἀτελέστερος, ὅπερ οὐδὲ θέμις ὑπονοεῖν ἐστιν. ἴσος γὰρ αὐτὸς ἑαυτῷ καὶ ὅμοιος ὁ θεός, μήτε ἄνεσιν πρὸς τὸ χεῖρον μήτ' ἐπίτασιν πρὸς τὸ βέλτιον δεχόμενος. ἐπὶ δὲ τὰς τοιαύτας ἀνωμαλίας ἄνθρωποι κεχωρήκασι, πρὸς ἑκάτερον, τό τε εὖ καὶ τὸ χεῖρον, πεφυκότες μεταβάλλειν, αὐξήσεσι καὶ προκοπαῖς καὶ βελτιώσεσι καὶ πᾶσι τοῖς ἐναντίοις εἰωθότες χρῆσθαι. | πρὸς 235 B. δὲ τούτοις τὰ μὲν τῶν θνητῶν ἔργα ἡμῶν φθαρτὰ δεόντως ἂν γένοιτο, τὰ δὲ τοῦ ἀθανάτου κατὰ τὸν ἐοικότα λόγον ἄφθαρτα δήπου· τῇ γὰρ φύσει τῶν τεχνιτῶν εὔλογον τὰ δημιουργηθέντα ἐξομοιοῦσθαι.

9. Καὶ μὴν ἅπαντί που κἀκεῖνο δῆλον, ὅτι φθειρομένης μὲν τῆς γῆς ἀνάγκη καὶ τὰ χερσαῖα τῶν ζῴων καθ' ὅλον τὸ γένος ἀπόλλυσθαι, φθειρομένου δὲ ὕδατος τὰ ἔνυδρα, καὶ ἀέρος μέντοι καὶ πυρὸς τὰ ἀεροπόρα καὶ πυρίγονα. κατ' ἀνάλογον οὖν εἰ φθείρεται ὁ οὐρανός, φθαρήσεται μὲν ἥλιος καὶ σελήνη, φθαρήσονται δ' οἱ λοιποὶ πλάνητες, φθαρήσονται δ' οἱ ἀπλανεῖς ἀστέρες, ὁ τοσοῦτος | αἰσθητῶν θεῶν εὐδαίμων τὸ πάλαι νομισθεὶς 501 M. στρατός. ὃ δὴ [εἰ] γένοιτ' ἂν οὐδὲν ἕτερον ἢ θεοὺς φθειρομένους ὑπονοεῖν·

1 αἰσχι(στοις) in ras. L[1] 2 ματαιοπόνος PME: ματαιοπόνω L: μάταιος V οὐδὲν] οὐδὲ M παίδων νηπίων E 3 ψάμμου M (e silentio): ψάμμους VE: ψάμους L: obl. in P ἀνιστᾶσι LVE: διανιστᾶσι PM καὶ ἔπειθ' V: κἄπειτα E 5 μηδ' αὖ LPM: μήτε VE: μήτ' αὖ Turneb. 6 γενόμενον ἅπαξ V: ἅπαξ om. E 6. 7 εἰ δὲ] εἶδος V 8 τὸν πρότερον om. E: τὸ πρότερον Turneb. 9 οὐ θέμις Va 9. 13 ἐστιν ... χρῆσθαι om. E 10 ὁ θεὸς LPM: ἐστιν ὁ θεὸς V βέλτιον L: βέλτιστον VPM 15 τὰ δὲ] δὲ om. PM θανάτου L τῇ δὲ r 19 δὲ ὕδατος] δὲ om. V 20 κατὰ λόγον PM 21 καὶ ἥλιος Mangey πλάνηται, συμφθαρήσονται V 22 θεῶν Turneb: θεοῦ libri 23 ὁ δὴ εἰ oblitt. in P: εἰ expunxit Bernays, sed peius corrupta est sententia, nam priora verba insulse repetit, et cum ἴσον γὰρ non congruit. Verba ἢ θεοὺς ... ὑπονοεῖν veri simile a librario addita, et Philonem tantum οὗ δὴ τί γένοιτ' ἂν αἰδοιότερον; (cf. 15,6. 7) vel simile quid scripsisse [cf. 27,4]

2 Homer O 361 seq. ἔρειπε δὲ τεῖχος Ἀχαιῶν | ῥεῖα μάλ' ὡς ὅτε τις ψάμαθον παῖς ἄγχι θαλάσσης | ὅστ' ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν | ἂψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων | 19 seq. De gigant. c. 2 (I 263 M.) περιέχοντος γῆς μὲν τὰ χερσαῖα (sc. ζῷα), θαλάττης δὲ καὶ ποταμῶν τὰ ἔνυδρα, πυρὸς δὲ τὰ πυρίγονα, ... οὐρανοῦ δὲ τοὺς ἀστέρας· καὶ γὰρ οὗτοι ψυχαὶ ὅλαι δι' ὅλων ἀκήρατοί τε καὶ θεῖαι. Cf. De plant. Noe c. 3 (I 331 M.), De opif. mundi c. 28 (31,7 C.)

ἴσον γάρ ἐστι τῷ καὶ ἀνθρώπους ἀθανάτους ὑπονοεῖν· καίτοι τις ἐν ἀτίμων συγκρίσει τοῦτ' ἂν εὕροι σκοπῶν εὐλογώτερον ἐκείνου. χάριτι μὲν γὰρ θεῶν θνητὸν ἀθανασίας μεταλαχεῖν εἰκός ἐστιν, ἀφθαρσίαν δὲ θεοὺς ἀποβαλεῖν ἀδύνατον, κἂν αἱ ἀνθρώπων σοφίαι κακομανῶσι. καὶ μὴν οἵ γε τὰς ἐκπυρώσεις καὶ τὰς παλιγγενεσίας εἰσηγούμενοι τοῦ κόσμου νομίζουσι καὶ ὁμολογοῦσι τοὺς | ἀστέρας θεοὺς εἶναι, οὓς τῷ λόγῳ διαφθείρειν οὐκ 236 B. ἐρυθριῶσιν. ἔδει γὰρ ἢ μύδρους διαπύρους ἀποφήνασθαι, καθάπερ ἔνιοι τῶν οἷα περὶ δεσμωτηρίου φλυαρούντων τοῦ σύμπαντος οὐρανοῦ, ἢ θείας ἢ δαιμονίας φύσεις νομίζοντας τὴν ἁρμόττουσαν θεοῖς ἀφθαρσίαν προσομολογῆσαι. νυνὶ δὲ τοσοῦτον δόξης ἀληθοῦς διήμαρτον, ὥστε λελήθασιν αὑτοὺς καὶ τῇ προνοίᾳ — ψυχὴ δ' ἐστὶ τοῦ κόσμου — φθορὰν ἐπιφέροντες ἐξ ὧν ἀνακόλουθα φιλοσοφοῦσιν. Χρύσιππος γοῦν ὁ δοκιμώτατος τῶν παρ' αὐτοῖς ἐν τοῖς Περὶ αὐξανομένου τερατεύεταί τι τοιοῦτον· προκατασκευάσας ὅτι 'δύο ἰδίως ποιὰ ἐπὶ τῆς αὐτῆς οὐσίας ἀμήχανον συστῆναι', φησίν· 'ἔστω θεωρίας ἕνεκα τὸν μέν τινα ὁλόκληρον, τὸν δὲ χωρὶς ἐπινοεῖσθαι τοῦ ἑτέρου ποδός, καλεῖσθαι δὲ τὸν μὲν ὁλόκληρον Δίωνα, τὸν δὲ ἀτελῆ Θέωνα, κἄπειτ' ἀποτέμνεσθαι Δίωνος τὸν ἕτερον τοῖν ποδοῖν. ζητουμένου δή, πότερος ἔφθαρται, τὸν Θέωνα φάσκειν οἰκειότερον εἶναι.' τοῦτο δὲ παραδοξολογοῦντος μᾶλλόν ἐστιν ἢ ἀληθεύοντος. πῶς γὰρ

1 ἴσον γὰρ] ἴσον δὲ Bernays τῷ VPM: τὸ L καίτοι τις Wendland: καὶ τοῖς L: καί τοι PM: τοῖς (om. καὶ) V: καί τις, Buecheler ἀτίμων VPM: ἀτίμω L: ἀτόπων coni. Bernays (cf. 27,4), qui tamen illud tuetur in notis 2 εὕροι L: εὑρεῖ V: εὕροις PM ἐκείνους V μὲν γὰρ Buecheler: μὲν libri qui γὰρ translatum habent post θνητόν, sed M μὲν ante γὰρ iteravit, originis indicium 3 θεῶν Diels (cf. v. 3 θεοὺς et oppositum ἀνθρώπων v. 4): θεοῦ ὂν libri, foede hiantia verba: ὂν post εὐλογώτερον transpon. Buecheler εἰκός ἐστιν] εἰ πρόσεστι V 4 οἵ γε Buecheler: οἵ τε libri 6 τοῦ λόγ(ου) L 7 ἀποφήνεσθαι L 8 περὶ] ὑπὸ V 9 νομίζοντας PM: νομίζουσαν VL ἁρμόζουσαν V 10 ὥστε om. in lac. IV. litt. L 11 αὑτοὺς Turneb.: αὐτοὺς libri 12 φιλοσοφοῦσι VPM γοῦν LV: οὖν PM καὶ ante προκατασκ. add. Turneb. 14 δύο ἰδίως ποιὰ scripsi secundum testim.: δύο εἰδοποίους libri: quod frusta tuetur Bernays [Comment. p. 51] ut 16,3. 17. immo librarii Aristotelicis terminis imbuti correctionem habemus, quem fugit δύναται [16,4] simul in δύνανται mutandum fuisse 17 κἄπειτ' M: κἄπειτα LVP 18 ζητημένου L τὸν θέωνα] τὸν om. V 19 ἐστιν om. V

Leg. ad Gaium 16 (II 562 M.) ἀνθρώπου γενητὴν καὶ φθαρτὴν φύσιν εἰς ἀγένητον καὶ ἄφθαρτον, ὅσα τῷ δοκεῖν, θεοπλαστῆσαι . . ἀσεβημάτων ἔκρινεν εἶναι χαλεπώτατον — θᾶττον γὰρ ἂν εἰς ἄνθρωπον θεὸν ἢ εἰς θεὸν ἄνθρωπον μεταβαλεῖν. 6 De somniis I c. 4 (I 623 M.) Τί οἱ ἀστέρες; πότερον γῆς εἰσιν ὄγκοι πυρὸς πλήρεις; ... μύδρους διαπύρους εἶπον αὐτοὺς εἶναί τινες, αὐτοὶ δεσμωτηρίου καὶ μύλωνος ἐν οἷς τὰ τοιαῦτ' ἐστὶν ἐπὶ τιμωρίᾳ τῶν ἀσεβῶν ὄντες ἐπάξιοι 14 Arii Didymi fr. 27 (Doxogr. p. 462,22) Ποσειδώνιος ... φησὶν ..., ἐπὶ τῶν ἰδίως ποιῶν οἷον Δίωνος καὶ Θέωνος καὶ αὐξήσεις καὶ μειώσεις γίνεσθαι.

ὁ μὲν οὐδὲν ἀκρωτηριασθεὶς μέρος, ὁ Θέων, ἀνήρπασται, ὁ δ' ἀποκοπεὶς τὸν
πόδα Δίων οὐχὶ διέφθαρται; 'δεόντως' φησίν· 'ἀναδεδράμηκε γὰρ ούκτμηθεὶς
τὸν πόδα Δίων ἐπὶ | τὴν ἀτελῆ τοῦ Θέωνος οὐσίαν, καὶ δύο ἰδίως ποιὰ 237 B.
περὶ τὸ αὐτὸ ὑποκείμενον οὐ δύνατ' εἶναι. τοιγαροῦν τὸν μὲν Δίωνα
μένειν ἀναγκαῖον, τὸν δὲ Θέωνα διεφθάρθαι.'

τὰ δ' οὐχ ὑπ' ἄλλων ἀλλὰ τοῖς αὑτῶν πτεροῖς
ἁλισκόμενα

φησὶν ὁ τραγικός· ἀπομαξάμενος γάρ τις τὸν | τύπον τοῦ λόγου καὶ ἐφαρ- 502 M.
μόσας τῷ παντὶ κόσμῳ δείξει σαφέστατα καὶ αὐτὴν φθειρομένην τὴν 5
πρόνοιαν. σκόπει δ' ὧδε· ὑποκείσθω τὸ μὲν ὡσανεὶ Δίων ὁ κόσμος· τέλειος
γάρ· τὸ δὲ ὡσανεὶ Θέων ἡ τοῦ κόσμου ψυχή, διότι τοῦ ὅλου τὸ μέρος
ἔλαττον, καὶ ἀφαιρείσθω, ὥσπερ ἀπὸ τοῦ Δίωνος ὁ πούς, οὕτως καὶ ἀπὸ
τοῦ κόσμου ὅσον αὐτοῦ σωματοειδές. οὐκοῦν ἀνάγκη λέγειν ὅτι ὁ μὲν
κόσμος οὐκ ἔφθαρται ὁ τὸ σῶμα ἀφαιρεθείς, ὥσπερ οὐδὲ ὁ ἀποκοπεὶς
τὸν πόδα Δίων, ἀλλ' ἡ τοῦ κόσμου ψυχή, ὥσπερ Θέων ὁ μηδὲν παθών. ὁ 10
μὲν γὰρ κόσμος ἐπ' ἐλάττονα οὐσίαν ἀνέδραμεν ἀφαιρεθέντος αὐτῷ τοῦ
σωματοειδοῦς, ἐφθάρη δ' ἡ ψυχὴ διὰ τὸ μὴ δύνασθαι δύο ἰδίως ποιὰ εἶναι
περὶ τὸ αὐτὸ ὑποκείμενον. ἔκθεσμον δὲ τὸ λέγειν φθείρεσθαι τὴν πρόνοιαν,
ἀφθάρτου δ' ὑπαρχούσης ἀνάγκη καὶ τὸν κόσμον ἄφθαρτον εἶναι. |

10. Μεγίστην μέντοι παρέχεται πίστιν εἰς ἀιδιότητα καὶ ὁ χρόνος. 238 B.
εἰ γὰρ ἀγένητος ὁ χρόνος, ἐξ ἀνάγκης καὶ ὁ κόσμος ἀγένητος. διὰ τί;
ὅτι, ᾗ φησὶν ὁ μέγας Πλάτων, ἡμέραι καὶ νύκτες μῆνές τε καὶ ἐνιαυτῶν
περίοδοι χρόνον ἔδειξαν. ἀμήχανον δέ τι τούτων συστῆναι δίχα ἡλίου

---

1 ὁ μὲν del. Buecheler, sed cf. v. 13. 14 οὐδὲν om. L 2 διέφθαρται L: ἔφθαρται VPM ούκτμηθεὶς scripsi: οὐ τμηθεὶς M: oblitt. in P: ὁ ἐκτμηθείς LV 3 ἰδίως ποιὰ] εἰδοποιοὶ libri, cf. 15,14 4 περὶ LVP: ἐπὶ M τὸ αὐτὸ ὑποκείμενον coll. v. 17, Bernays: τοῦ αὐτοῦ ὑποκειμένου libri δύνατ' M: δύναται V: in P oblitt.: δύν(ανται) e corr. L: δύναντ' Mangey: δύνανται Bernays 5 διεφθάρθαι L: ἐφθάρθαι VPM 6 ἄλλην L αὑτῶν Turneb.: αὐτῶν libri 9 καὶ τὴν αὐτὴν PM 10 δὲ ὧδε L τὸ μὲν scripsi: ὁ μὲν libri 11 τὸ δὲ scripsi: ὁ δὲ libri 12 οὔτω M 13 κόσμου ὅσον cum hiatu libri. Fort. scrib. κόσμου πᾶν ὅσον cf. 10,3 ὅσον αὐτῷ V 15 ὁ μηδὲν LPM: μηδέν τι (om. ὁ) V 16 αὐτοῦ P 17 ἰδίως ποιὰ] εἰδοποιοὺς libri cf. 15,14 19 δ' ὑπαρχούσης V: δὲ ὑπαρχούσης LPM 20 πίστιν superscr. L^1 21 ἀγένητος (bis) L: ἀγέννητος VPM 23 δέ τι τούτων L: δ' ἐπι τούτων V: δέ πῃ τοῦτον PM ἡλίου δίχα L cum hiatu

---

3 Aeschyl. fr. 139,4 (Nauck ed. 2) 22 Plat. Tim. 38 E ἡμέρας γὰρ καὶ νύκτας καὶ μῆνας καὶ ἐνιαυτούς, οὐκ ὄντας πρὶν οὐρανὸν γενέσθαι, τότε ἅμα ἐκείνῳ ξυνισταμένῳ τὴν γένεσιν αὐτῶν μηχανᾶται· ταῦτα δὲ πάντα μέρη χρόνου, καὶ τό τ' ἦν τό τ' ἔσται χρόνου γεγονότα εἴδη. Philo Leg. all. II c. 2 (I 42 M.) σύμπας ὁ χρόνος ἡμερῶν καὶ νυκτῶν ἐστι διάστημα καὶ ταῦτα ἡλίου κίνησις ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ἰόντος ἐξ ἀνάγκης ἀποτελεῖ·

κινήσεως καὶ τῆς τοῦ παντὸς οὐρανοῦ περιφορᾶς· ὥστ' εὐθυβόλως ἀποδε-
δόσθαι πρὸς τῶν εἰωθότων τὰ πράγματα ὁρίζεσθαι χρόνον διάστημα τῆς
τοῦ κόσμου κινήσεως. ἐπεὶ δὲ τοῦθ' ὑγιές ἐστι, γίνεται ὁ κόσμος ἰσῆλιξ
τοῦ χρόνου καὶ αἴτιος. πάντων δ' ἀτοπώτατον ὑπονοεῖν ὅτι ἦν ποτε κόσμος
ἡνίκα οὐκ ἦν χρόνος· ἄναρχος γὰρ καὶ ἀτελεύτητος ἡ τούτου φύσις, ἐπεὶ
καὶ αὐτὰ ταῦτα, τὸ ἦν, τὸ ποτέ, τὸ ἡνίκα, χρόνον συνεμφαίνει. τούτῳ δ'
ἀκόλουθον, τὸ μηδὲ χρόνον | ὑποστῆναι καθ' ἑαυτὸν ἡνίκα κόσμος οὐκ 492,10 M.
ἦν. τὸ γὰρ μὴ ὑπάρχον οὐδὲ κινεῖται· διάστημα δὲ κοσμικῆς κινήσεως 11
ἐδείχθη ὁ χρόνος ὤν. ἀνάγκη τοίνυν ἑκάτερον ἐξ ἀιδίου ὑφεστάναι γενέσεως
ἀρχὴν μὴ λαβόντα, τὰ δ' ἀίδια φθορᾶς ἀνεπίδεκτα. τάχα τις εὑρησιλο-
γῶν Στωικὸς ἐρεῖ, τὸν χρόνον ἀποδεδό|σθαι διάστημα τῆς τοῦ κόσμου 239 B.
κινήσεως οὐχὶ τοῦ νυνὶ διακεκοσμημένου μόνον ἀλλὰ καὶ τοῦ κατὰ τὴν
ἐκπύρωσιν ὑπονοουμένου. πρὸς ὃν λεκτέον· 'τὴν ἀκοσμίαν, ὦ γενναῖε,
μετατιθεὶς τὰ ὀνόματα κόσμον καλεῖς. εἰ γὰρ οὗτος ὃν ὁρῶμεν ἐτύμως
καὶ προσφυέστατα κόσμος κέκληται, διατεταγμένος καὶ διακεκοσμημένος
ἀνεπανορθώτου τέχνης ἀκρότητι, τὴν πρὸς τὸ πῦρ αὐτοῦ μεταβολὴν δεόντως
ἄν τις ἀκοσμίαν ὀνομάσαι.'

11. Κριτόλαος δὲ τῶν κεχορευκότων Μούσαις, τῆς Περιπατητικῆς ἐραστὴς φιλοσοφίας, τῷ περὶ τῆς αἰδιότητος κόσμου δόγματι συνειπὼν

---

1 καὶ τῆς VPM: καὶ ἐπὶ τῆς L: καὶ ἔτι τῆς Bernays, sed ἐπὶ est varia lectio prioris δέ τι, cf. not. 16,23 3 τῆς κόσμου PM ἐπεὶ δὲ LV: ἔπειτα PM ἀπῆλιξ M 4 δὲ ἀτοπώτατον L ποτε ὁ M 4. 5 κόσμος ἡνίκα οὐκ ἦν χρόνος Bernays: χρόνος ἡνίκα οὐκ ἦν κόσμος libri 5 γὰρ καὶ] καὶ γὰρ V 6 ἦν] ἢ M συνεμφαίνει LV cf. 16,23 ἔδειξαν: συνυφαίνει PM 6. 7 δὲ ἀκόλουθον L 8 χρονικῆς (in marg. κοσμικῆς) P 9 ὑφιστάναι M 10 δ' ἀίδια φθορᾶς Bernays: δὲ διαφθορᾶς libri 10. 11 εὑρησιλογῶν L et ut vid. P: εὑρεσιλόγων (sic) V: εὑρήσει λόγων M 12 νυνὶ διακεκοσμημένου Bernays: νῦν ἰδίᾳ κεκοσμημένου libri 13 ὑπονοουμένου L: ἐπινοουμένου VPM ἑτοίμως PM 16 ἀνεπανορθώτου coll. 13,20 Buecheler: ἅτ' ἐπ' ἀνθρώπου libri: ἅτ' ἀπ' ἀνθρώπου Turneb.: ἀπανθρώπου (ἅτε ante διατεταγμ. transposito) Bernays, qui tamen ipse observat in comment. ἀπάνθρωπος sensum, quo hic usurparetur, non habere πρὸς τὸ πῦρ LP: πρὸς πῦρ M: πῦρ (om. πρὸς τὸ) V 18 κεχορευκότων] συνκεχορευκότων veri similiter coni. Mangey coll. testim.; post Μούσαις intercidisse κορυφαῖος vel aliquid huius modi vidit Buecheler 19 τῷ περὶ V: τῶν περὶ L: τῷ παρὰ PM

ἥλιος δὲ μέρος οὐρανοῦ γέγονεν, ὥστε χρόνον ἀνομολογεῖσθαι νεώτερον κόσμου. Λέγοιτ' ἂν οὖν ὀρθῶς, ὅτι οὐκ ἐν χρόνῳ γέγονε κόσμος, ἀλλὰ διὰ κόσμου συνέστηκε χρόνος· ἡ γὰρ οὐρανοῦ κίνησις χρόνου φύσιν ἔδειξεν. De opif. mundi c. 8 (8,2 C.) ἐπεὶ γὰρ διάστημα τῆς τοῦ κόσμου κινήσεώς ἐστιν ὁ χρόνος, προτέρα τοῦ κινουμένου κίνησις οὐκ ἂν γένοιτο, ἀλλ' ἀναγκαῖον ἄρα καὶ τὸν χρόνον ἰσήλικα κόσμου γεγόνεναι ἢ νεώτερον ἐκείνου. 18 Quod omnis prob. lib. c. 10 (II p. 455 M.) Ἐπειδὴ δέ τινες τῶν ἥκιστα συγκεχορευκότων Μούσαις ....

ἐχρήσατο τοιαύταις πίστεσιν· εἰ γέγονεν ὁ κόσμος, ἀνάγκη καὶ τὴν γῆν γεγονέναι· εἰ δὲ ἡ γῆ γενητή, πάντως καὶ τὸ ἀνθρώπων γένος· ἄνθρωπος δὲ ἀγένητον, ἐξ αἰδίου τοῦ γένους ὑφεστῶτος ὥσπερ ἐπιδειχθήσεται· αἴδιος ἄρα καὶ ὁ κόσμος. τὸ δὲ ὑπερτεθὲν ἤδη κατασκευαστέον, εἰ δεῖ ἀποδείξεως τοῖς οὕτως ἐμφανέσι· δεῖ δέ, ὡς ἔοικεν, ἕνεκα τῶν μυθοπλαστῶν, οἳ ψευσμάτων ἀναπλήσαντες τὸν βίον ἀλήθειαν ὑπερόριον πε|φυγαδεύκασιν, οὐ 210 B. μόνον πόλεις καὶ οἴκους ἀλλὰ καὶ ἕνα ἕκαστον τοῦ κτήματος χηρεύειν βιασάμενοι καὶ πρὸς τὸν τῆς φράσεως ὁλκὸν μέτρα καὶ ῥυθμοὺς δέλεαρ εἰς ἐνέδραν ἐπινοήσαντες, οἷς ἀφρόνων ὦτα καταγοητεύουσι, καθάπερ ὀφθαλμοὺς αἱ ἄμορφοι καὶ εἰδεχθεῖς ἑταῖραι περιάπτοις καὶ νόθῳ κόσμῳ χρείᾳ γνησίου. λέγουσι γὰρ ὅτι ἡ ἐξ ἀλλήλων γένεσις ἀνθρώπων νεώτερον φύσεως ἔργον, ἀρχεγονώτερον δὲ καὶ πρεσβύτερον | ἡ ἐκ γῆς, ἐπειδὴ πάντων 493 M. μήτηρ ἐστί τε καὶ νενόμισται, τοὺς δὲ ᾀδομένους παρ' Ἕλλησι σπαρτοὺς ἐκφῦναι, καθάπερ νῦν τὰ δένδρα, τελείους καὶ ἐνόπλους γῆς παῖδας. ὅτι δὲ μύθου πλάσμα τοῦτ' ἐστί, συνιδεῖν ἐκ πολλῶν ῥᾴδιον. αὐτίκα τῷ πρώτῳ γενομένῳ ἔδει καθ' ὡρισμένα μέτρα καὶ ἀριθμοὺς χρόνων αὐξήσεως. βαθμοὺς γάρ τινας ἡ φύσις τὰς ἡλικίας ἐγέννησεν, δι' ὧν τρόπον τινὰ ἀναβαίνει καὶ κάτεισιν ἄνθρωπος· ἀναβαίνει μὲν αὐξόμενος, κατέρχεται δ'

---

1 πίστεσιν· PV: πίστεσι L: πίστευσιν M εἰ om. L 2 ἡ δὲ ἡ M γενητή LP: γεννητή VM 3 ἀγένητον L: ἀγέννητον VPM τὸ γένος V ὑφεστῶτος scripsi: ὑφεστώς VPM: ὑποστάς L: ἐξ αἰδίου cum τοῦ γένους coniungi nequit. Cf. 17, 9 3. 4 αἴδιος ἄρα ... κατασκευαστέον om. M 5 δέ, ὡς LVP: δ' ὡς M ἕνεκα] ἕνα L 6 πεφυγανεύκασιν M 7 κτήματα L 8 φράσεως Bernays coll. testim.: ὁράσεως libri: ῥήσεως Mangey 11 γένεσιν L 12 ἀρχεγονότερον L 13 ἐστί τε L: ἐστὶ VPM 14 ἐκφῦναι LPM: ἐκφύναι λέγουσι V 15 ἐκ πολλῶν ῥᾴδιον VPM ex ῥᾴδιον ἐκ πολλῶν corr. L[1] 16 εἴδει καθωρισμένα V 18. δὲ L

---

5 De iustit. 8 (II 367) ὁ ψευδόμενος αὐτὸς αὑτοῦ γενήσεται χείρων ἀλήθειαν ὑπερόριον τῆς ψυχῆς πεφυγαδευκώς. Cf. 34, 5 6 seq. De monarchia I 8 (II 216 M.) ἀπάται ἃς μυθογράφοι διαπλάσαντες ἐξετύφωσαν, ἐπιτειχίσαντες τὰς ψευδεῖς δόξας κατὰ τῆς ἀληθείας ... πρὸς δὲ τὸ εὐπαράγωγον μέλεσι καὶ μέτροις ἐνήρμοσαν τὸ ψευδὲς νομίσαντες ῥᾳδίως καταγοητεύσειν τοὺς ἐντυγχάνοντας· Οὐ μὴν ἀλλὰ καὶ πλαστικὴν καὶ ζωγραφίαν συνεργοὺς τῆς ἀπάτης προσέλαβον ἵνα .. ὄψιν καὶ ἀκοὴν δελεάσαντες συναρπάσωσι τὴν ψυχὴν 8 Zach. Mytil. [cf. prolegom. XIII n. 2] p. 90 τῷ γλαφυρῷ τῆς φράσεως γοητεύουσι τῶν ἀκροωμένων τὰς ἀκοάς. Plato Phaedr. 239 d Est corpus illius ὃς ἡδὺ πρὸ ἀγαθοῦ ἠνάγκασται διώκειν, ἀλλοτρίοις χρώμασι καὶ κόσμοις χήτει οἰκείων κοσμούμενον 9 Philo De provid. fr. XIII (II 640 M.) ἀπατώμενοι ταὐτὸν πεπόνθασι τοῖς ἀγκιστρευομένοις ὑπὸ τῶν εἰδεχθῶν ἑταιριδίων, ἃ τὴν δυσμορφίαν ἐσθῆτι καὶ χρυσῷ καὶ ταῖς τῆς ὄψεως ὑπογραφαῖς ἐπισκιάζοντα γνησίου κάλλους ἀπορίᾳ νόθον ἐπ' ἐνέδρᾳ τῶν θεωμένων δημιουργεῖ. Leg. All. III (I 199 M.) c. 20 Ἡ δὲ ἡδονὴ ἐπιψεύδεται ... ὥσπερ καὶ τῶν ἑταιρῶν τὰς εἰδεχθεῖς ἰδεῖν ἔστι φαρματτούσας ... De merc. meret. 3 (II 266) (πόρνη) χήτει γνησίου κάλλους τὸ νόθον μεταδιώκουσα

ἐν ταῖς μειώσεσιν. ὅρος δ' ὁ τῶν ἀνωτάτω βαθμῶν ἀκμή, πρὸς ὃν φθάσας τις οὐκέτι πρόεισιν, ἀλλ', ὥσπερ οἱ διαυλοδρομοῦντες ἀνακάμπτουσι τὴν αὐτὴν ὁδόν, ὅσα παρ' ἰσχυούσης νεότητος ἔλαβεν, ἀποδίδωσιν ἀσθενεῖ γήρᾳ· τὸ δὲ γεννηθῆναί τινας ¦ οἴεσθαι τελείους ἠγνοηκότων ἐστὶ 241 B. νόμους φύσεως, θεσμοὺς ἀκινήτους. αἱ μὲν γὰρ ἡμέτεραι γνῶμαι προσαναματτόμεναι τὸ πλημμελὲς ἐκ τοῦ συνεζευγμένου θνητοῦ τροπὰς καὶ μεταβολὰς εἰκότως ἐνδέχονται, ἄτρεπτα δὲ τὰ τῆς τῶν ὅλων ἐστὶ φύσεως, ἅτε πάντων ἐπικρατούσης καὶ διὰ βεβαιότητα τῶν ἅπαξ γνωσθέντων τοὺς ἐξ ἀρχῆς παγέντας ὅρους ἀκινήτους διαφυλαττούσης. εἴπερ οὖν ἁρμόττον ἐνόμιζεν ἀποτίκτεσθαι τελείους, καὶ νῦν ἂν ἐτελειογονεῖτο ἄνθρωπος, μὴ βρέφος, μὴ παῖς, μὴ μειράκιον γινόμενος, ἀλλ' ἀνὴρ εὐθὺς ὤν, ἴσως δὲ καὶ πρὸς ἅπαν ἀγήρως καὶ ἀθάνατος. ᾧ γὰρ μὴ αὔξησις, μηδὲ μείωσις πρόσεστιν . . . . . . αἱ μὲν οὖν ἄχρι τῆς ἀνδρὸς ἡλικίας μεταβολαὶ κατ' αὔξησιν, αἱ δ' ἀπὸ ταύτης ἄχρι γήρως καὶ τελευτῆς κατὰ μείωσιν συνίστανται· τῷ δὲ μὴ κοινωνοῦντι τῶν προτέρων καὶ τὰς ἑπομένας εὔλογον μὴ ἐπιγίγνεσθαι. τί δ' ἐμποδὼν ἦν ἀνθρώπους καθάπερ φασὶ πρότερον καὶ νῦν βλαστάνειν; οὕτως καὶ ἡ γῆ γεγήρακεν, ὡς διὰ χρόνου μῆκος ἐστειρῶσθαι δοκεῖν; ἀλλ' ἐν ὁμοίῳ μένει νεάζουσα ἀεί, διότι τετάρτη μοῖρα τοῦ παντός ἐστι καὶ ἕνεκα τῆς τοῦ ὅλου διαμονῆς ὀφείλει μὴ φθίνειν, ἐπεὶ καὶ τὰ ἀδελφὰ στοιχεῖα αὐτῆς ὕδωρ ἀήρ τε καὶ πῦρ ἀγήρω διατελεῖ. πίστις δ' ἐναργὴς | τῆς ἀδιαστάτου καὶ ἀιδίου περὶ γῆν ἀκμῆς τὰ φυόμενα· 242 B.

1 δ' ὁ τῶν VP: δὲ ὁ τῶν L: δ' ὁ τῶ M   ἀνωτάτω scil. utriusque partis. '*fortasse* ἄνω καὶ κάτω' Diels   βαθμῶν LV: βαθμὸς PM   3 παρισχυούσησ L   3. 4 ἀποδίδωσιν ἀσθενεῖ Bernays: ἀποδιδοὺς ἐνασθενεῖ LPM: ἀποδιδοὺς εὐασθενεῖ V   4 ἠγνοηκότων L: ἐξηγνοηκότων PM: ἐξ ἠγνοηκότων V: in ἐξ latet fortasse ἐκ γῆς Diels   7 δὲ τὰ] δὲ om. V   τῆς τῶν] τῶν om. VPM   9. 10 ἐνόμιζεν ἁρμόττον PM   11 γινόμενος PM: γενόμενος LV   13 πρόσεστι L deinde spat. circa VII litt. vacuum, quod expleverim ἔμπαλιν, cf. ind., εἰκότως Diels   μὲν οὖν VMP: μὲν γὰρ L   ἄχρι] μέχρι (με in ras.) P   14 ἄχρι VL: ἄχρι καὶ PM   16 ἐπιγίνεσθαι P   17 οὕτως LV: οὕτω PM: οὔπω Turneb.   18 μέμει (sic) M   19 φθίνειν PM: φθάνειν LV (in marg. φθαρεῖν V²)   21 δ' ἐναργὴς V: δὲ ἐναργὴς LPM

2 De op. mundi c. 34 (37,13 C.) ἀφ' οὗ ἤρξατο σχήματος λαμβάνειν αὔξησιν αἰσθητῶς (sc. σελήνη) εἰς ἐκεῖνα κατὰ μείωσιν ἀνακαμπτούσης . . . πάλιν ὑποστρέφει διαυλοδρομοῦσα τὴν αὐτὴν ὁδόν. cf. ind. s. v. διαυλοδρομεῖν   4 seq. De opif. mundi c. 19 (20,9 C.) . . . τῶν ἡμῖν μὲν ἀδηλουμένων — οὐ γὰρ πάντα τῷ θνητῷ γένει γνώριμα — ἃ θεσμοῖς καὶ νόμοις οὓς ὥρισεν ὁ θεὸς ἀκινήτους ἐν τῷ παντί, συμβαίνει πάντῃ τε καὶ πάντως ἐπιτελεῖσθαι. cf. ind. s. v. θεσμός   6 Leg. all. II 6 (I 70 M.) κατέζευκται ἐξ ἀνάγκης τὸ θνητὸν πάθεσι καὶ κακίαις. De op. m. 53 (57,20 C.) τροπὰς δὲ καὶ μεταβολὰς ἀναγκαίως τὰ θνητὰ δέχεται   11 De Ioseph. 22 (I 59) Senex ἦν ποτε βρέφος, καὶ μετὰ ταῦτα παῖς, εἶτα ἔφηβος, εἶτα μειράκιον καὶ νεανίας αὖθις, εἶτ' ἀνήρ, καὶ γέρων ὕστατον

καταρθεῖσα γὰρ ἢ ποταμῶν ἀναχύσεσιν, ὥσπερ φασὶν Αἴγυπτον, ἢ τοῖς ἐτησίοις ὄμβροις τὸν ἐκ τῆς φορᾶς κάματον ὑπανίεται καὶ χαλᾶται κἄπειτα διαναπαυσαμένη τὴν οἰκείαν δύναμιν ἀνακτᾶται μέχρι παντελοῦς ῥώμης, εἶτ' ἄρχεται πάλιν τῆς τῶν ὁμοίων γενέσεως τροφὰς ἀφθόνους ἁπάσαις ζῴων ἰδέαις ἀναδιδοῦσα.

12. Παρ' ὅ μοι δοκοῦσιν | οὐχ ἀπὸ σκοποῦ ποιηταὶ πανδώραν αὐτὴν 494 M. ὀνομάσαι, πάντα δωρουμένην [καὶ] τὰ πρὸς ὠφέλειαν καὶ ἡδονῆς ἀπόλαυσιν οὐ τισὶν ἀλλὰ πᾶσιν ὅσα ψυχῆς μεμοίραται. εἰ γοῦν τις ἔαρος ἀκμάσαντος πτερωθεὶς ἀρθείη μετάρσιος καὶ κατίδοι τήν τε ὀρεινὴν καὶ πεδιάδα, τὴν μὲν εὔχορτον καὶ χλοηφόρον πόας καὶ χιλὸν κριθάς τε καὶ πυροὺς καὶ μυρίας ἄλλας σπαρτῶν φύσεις ἀναδιδοῦσαν, ἅς τε γεωργοὶ κατεβάλοντο καὶ ἃς ἀπαυτοματίζουσα ἡ τοῦ ἔτους ὥρα παρέχεται, τὴν δὲ κλάδοις καὶ φυλλάσι κατάσκιον οἷς ἐπικοσμεῖται τὰ δένδρα, καὶ καρπῶν περιπληθεστάτην, οὐχὶ τῶν πρὸς ἐδωδὴν μόνον ἀλλὰ καὶ οἷς πόνους ἀκεῖσθαι συμβέβηκεν — ὁ μὲν γὰρ τῆς ἐλαίας καρπὸς σώματος κάματον ἰᾶται, ὁ δὲ τῆς ἀμπέλου ποθεὶς μετρίως ἐπιχαλᾷ τὰς σφοδρὰς ὀδύνας ׀ ψυχῆς — ἔτι δὲ τὰς 243 B. ἀπὸ τῶν ἀνθέων ἀναφερομένας εὐωδεστάτας αὔρας καὶ τὰς τῶν χρωμάτων ἀμυθήτους ἰδιότητας τέχνῃ δαιμονίῳ πεποικιλμένας, τὴν δ' ὄψιν ἀποκλίνας ἀπὸ τῶν ἡμέρων ἐν μέρει πάλιν αἰγείρους, κέδρους, πεύκας, ἐλάτας, δρυῶν ὕψη περιμηκέστατα, τὰς ἄλλας τῶν ἀγρίων συνεχεῖς καὶ βαθείας ὕλας περιαθρήσειεν, αἳ τὰ πλεῖστα καὶ μέγιστα τῶν ὀρῶν καὶ τὴν πολλὴν ὅση

1 καταρθεῖσα Mangey: καθαρθεῖσα libri 2 φορᾶς Mangey: φθορᾶς libri 4 εἶτα L ἀφθόνας V 6 πανδώρην (a superscr.) αὐτοὺς (in marg. manu rec. αὐτὴν) V 7 καὶ del Bernays 8 μεμοίραται Turneb.: μεμοίρανται libri cf. 38,3 9 τὴν (om. τε) M ὀρινὴν L 10 χιλῶν L πυρὰς M 11 ἀναδιδοῦσαν V et (ας superscr.) L: ἀναδιδοῦσας PM κατεβάλλοντο M 12 ἀπαυματοματίζουσα V 13 φυλλαί P 14 ἀκεῖσθαι πόνους V 16 τῆς ψυχῆς V ἔτι δε καὶ V 17 ἀνθέων L: ἀνθῶν VPM εὐωδεστάτας L: εὐοδεστάτας V: εὐωδεστέρας PM χρωμάτων VPM: ἀνθέων L 18 δαιμονίῳ VPM: δαιμονίᾳ L 19 post πάλιν add. ὄψει V κέδρους V, ut coni. Buecheler: καὶ κέδρους LPM 20 τὰς ἄλλων Turneb. 21 περιαθρήσειας L

6 De op. mundi 45 (p. 50,4 C.) ... ἣν (sc. γῆν) ἐτύμως τὸ ποιητικὸν γένος παμμήτορα καὶ καρπόφορον καὶ πανδώραν εἴωθεν ὀνομάζειν ἐπειδὴ πάντων αἰτία γενέσεως καὶ διαμονῆς ζῴων ὁμοῦ καὶ φυτῶν ἐστιν 10 De opif. mundi c. 12 (12,3) κελεύει γὰρ αὐτὴν (sc. γῆν) χλοηφορεῖν καὶ σταχυηφορεῖν παντοίας βοτάνας ἀνιεῖσαν καὶ πεδία εὔχορτα καὶ πάνθ' ὅσα χιλὸς μὲν κτήνεσιν, ἀνθρώποις δ' ἔμελλεν ἔσεσθαι τροφή 14 Plato Menex. 238 A ἐλαίου γένεσιν πόνων ἀρωγὴν cf. Protag. 334 B. 15 Philo De somn. II 8 (I 606 M.) Τί δὲ τοῦ ἀπὸ τῆς ἐλαίας ἐκθλιβομένου καρποῦ πλέον ἔδει ζητεῖν πρὸς ἀλείμματα· καὶ γὰρ λεαίνει καὶ κάματον σώματος λύει καὶ εὐσαρκίαν ἐμποιεῖ 16 De monarch. II 7 (II 227 M.) Ἄκρατος ... τοὺς τῆς ψυχῆς τόνους ἐπιχαλῶν λήθης ὁμοῦ καὶ ἀφροσύνης αἴτιος γίνεται

βαθύγειος τῆς ὑπορείου συσκιάζουσι, γνώσεται τὴν ἀνένδοτον καὶ ἀκάματον τῆς γῆς ἀεὶ νεαζούσης ἀκμήν· ὥστ' οὐδὲν ἐλαττωθεῖσα τῆς παλαιᾶς ἰσχύος καὶ νῦν ἄν, εἴ γε τὸ πρότερον, ἔτικτεν ἀνθρώπους ὑπὲρ δυοῖν τοῖν ἀναγκαιοτάτοιν, ἑνὸς μὲν τοῦ μὴ λιποτακτεῖν τάξιν οἰκείαν καὶ μάλιστα ἐν σπορᾷ καὶ γενέσει τοῦ χερσαίων ἁπάντων ἀρίστου καὶ ἡγεμόνος ἀνθρώπου· δευτέρου δέ, γυναικῶν ἐπικουρίας, αἳ κύουσαι μὲν βαρυτάτοις ἄχθεσι δέκα που μῆνας πιέζονται, μέλλουσαι δ' ἀποτίκτειν πολλάκις ὠδῖσιν αὐταῖς ἐναποθνήσκουσιν. ὅλως τοῦτ' οὐκ εὐήθεια δεινὴ μήτραν ὑπολαμβάνειν γῆν ἐγκεκολπίσθαι πρὸς ἀνθρώπων σποράν; τὸ γὰρ ζῳογονοῦν χωρίον ἐστὶ μήτρα, 'φύσεως', | ὥς εἶπέ τις, 'ἐργαστήριον', ἐν ᾧ ζῷα μόνον διαπλάττεται· 244 B. τὸ δὲ οὐ γῆς μέρος ἐστίν, ἀλλὰ ζῴου θήλεος, δημιουργηθὲν εἰς γένεσιν. ἐπεὶ καὶ μαζοὺς καθάπερ γυναικὶ γῇ φατέον ἡνίκα ἠνθρωπογόνει προσγενέσθαι, τροφὴν ἵν' ἔχωσιν οἰκείαν οἱ πρῶτον ἀποκυηθέντες. ἀλλὰ γὰρ οὐ ποταμός, οὐ πηγή τις οὐδαμοῦ τῆς οἰκουμένης ἀνθ' ὕδατος μνημονεύεταί ποτε ὀμβρῆσαι γάλα. πρὸς δὲ δὴ τούτοις, ὥσπερ γαλακτοτροφεῖσθαι χρὴ τὸ ἀρτίγονον, οὕτως καὶ τῇ δι' ἀμπεχόνης σκέπῃ χρῆσθαι διὰ τὰς ἀπὸ κρυμοῦ | καὶ θάλπους ἐγγινομένας τοῖς σώμασι ζημίας, οὗ χάριν μαῖαι καὶ 495 M. μητέρες, αἷς ἀναγκαία φροντὶς εἰσέρχεται τῶν γεννωμένων, κατασπαργανοῦσι τὰ βρέφη. τοὺς δὲ γηγενεῖς φύντας πῶς οὐκ ἄν τις εὐθὺς διέφθειρε γυμνοὺς ἐαθέντας ἢ ἀέρος κατάψυξις ἢ ἀφ' ἡλίου φλογμός; κρυμοὶ γὰρ

1 ὑπορείου V ut coni. Mangey: ὑπορίου L: ὑπερορείου PM: ὑπερορίας Turneb. σκιάζουσι PM 2 ἀκμῆς L ἐλλαττωθεῖσα M 3 εἴ γε LV: ἥ γε P: ἤ γε M ἔτικ(τεν) (τεν in ras.) L 4 λιποτακτεῖν Bernays.: λιποτακτὴν L: λειποτακτεῖν VPM 6 δεύτερον PM γυναικῶν Mangey: γυναικὸς libri 7 πιέζονται coni. Mangey recte, cf. ind. s. v.: βιάζονται libri δὲ ἀποτίκτειν L 8 ἀποθνήσκουσιν Turneb. ὅλως τοῦτ' οὐκ V: ὅλως τ' οὐκ PM τοῦτ' οὐκ ευήθεια δεινὴ om. in lac. circa XVII litt. L 12 γῇ om. M ἀνθρωπογονεῖ M 13 ἵν' VPM: ἣν L πρῶτον LVM: πρῶτοι P 15 πρὸς δὲ δὴ] δὲ om. V χρὴ LPM: δεῖ V 16 ἀρχίγονον L οὕτω PM καὶ τὸ V 17 σώμασι LV: θάλπουσι PM: τρεφομένοις Turneb. 18 εἰσέρχεται scripsi cf. ind. s. v.: ἔρχεται libri γεννωμένων LP: γενομένων V: γινομένων M 19 (διεφθ)ειρε e corr. L[1] 20 ἀφ' ἡλίου] ἀφ' om. V at cf. ind. s. v. φλογμός κρυμοί VPM: κρυμνοί L, cf. ind.

10 auctor dicti ignotus. cf. ind. s. v. ἐργαστήριον 11 seq. De op. mundi c. 65 (p. 50,7 C.) εἰκότως οὖν καὶ γῇ τῇ πρεσβυτάτῃ καὶ γονιμωτάτῃ μητέρων ἀνέδωκεν ἡ φύσις οἷα μαστοὺς ποταμῶν ῥεῖθρα καὶ πηγῶν, ἵνα καὶ τὰ φυτὰ ἄρδοιτο 15 seq. De human. 17 (II 396 M.) χάρισαι φησί τῇ μητρὶ τὸ ἔγγονον ... γαλακτοτροφῆσαι· καὶ μὴ ἀνωφελεῖς ἃς ἡ φύσις ὤμβρησε πηγὰς τοῦ γάλακτος ἐν μαστοῖς ἐργάσῃ ... 16 seq. De praem. et poenis 17 (II 424 M.) σκέπης διττὸν εἶδος, τὸ μὲν ἀμπεχόνη τὸ δε οἰκία διὰ τὰς ἀπὸ κρυμοῦ καὶ θάλπους παρακολουθούσας ζημίας. De somn. II 7 (I 666 M.) ἀμπεχόνη πρὸς τὰς ἀπο κρυμοῦ καὶ θάλπους ἐγγιγνομένας βλάβας τῷ σώματι κατεσκευάσθη τὸ πρῶτον. Cf. de mut. nom. 43 (I 616 M.), De vita contempl. C. 3 (II 475), c. 4 (II 477)

καὶ θάλπη κρατήσαντα νόσους καὶ φθορὰς ἀπεργάζονται. ἐπειδὴ δ' ἅπαξ ἤρξαντο ἀλογεῖν ἀληθείας οἱ μυθοπλάσται, τοὺς σπαρτοὺς ἐκείνους καὶ ἐνόπλους ἐτερατεύσαντο ἐκφῦναι. τίς γὰρ ἦν κατὰ γῆς χαλκουργὸς ἢ τοσοῦτος Ἥφαιστος ὡς αὐτίκα παντευχίας εὐτρεπίζεσθαι; τίς δὲ τοῖς πρώτοις γενομένοις εἰς ὅπλισιν οἰκειότης; ἡμερώτατον γὰρ ζῷον ὁ ἄνθρωπος | λόγον 245 B. δωρησαμένης φύσεως αὐτῷ γέρας, ᾧ καὶ τὰ ἐξηγριωμένα πάθη κατεπᾴδεται καὶ τιθασσεύεται. πολὺ βέλτιον ἦν ἀνθ' ὅπλων κηρύκια ἀναδῦναι, συμβατηρίων σπονδῶν σύμβολα, λογικῇ φύσει, ὅπως εἰρήνην πρὸ πολέμου πᾶσι τοῖς πανταχοῦ καταγγέλλῃ.

13. Τὰ μὲν οὖν τῶν ἐπιτειχιζόντων ψευδολογίαν κατὰ τῆς ἀληθείας φλυαρήματα μετρίως ἐξελήλεκται. χρὴ δ' εὖ εἰδέναι ὅτι ἐξ αἰδίου κατὰ διαδοχὰς ἐξ ἀνθρώπων βλαστάνουσιν ἄνθρωποι, σπείροντος μὲν εἰς μήτραν ἀνδρὸς ὡς εἰς ἄρουραν, γυναικὸς δ' ὑποδεχομένης τὰ σπέρματα σωτηρίως, τῆς δὲ φύσεως ἀοράτως ἕκαστα καὶ τῶν τοῦ σώματος καὶ τῶν τῆς ψυχῆς διαπλαττούσης μερῶν καὶ ὅπερ οὐκ ἴσχυσε λαβεῖν ἡμῶν ἕκαστος τοῦθ' ἅπαντι τῷ γένει δωρησαμένης, τὸ ἀθάνατον. μένει γὰρ εἰς ἀεί, φθειρομένων τῶν ἐν εἴδει, τεράστιον ὡς ἀληθῶς καὶ θεῖον ἔργον. εἰ δ' αἴδιον ἄνθρωπος, βραχεῖα μοῖρα τοῦ παντός, ἀγένητος δήπου καὶ ὁ κόσμος, ὥστε ἄφθαρτος.

14. Ἐπαγωνιζόμενος δ' ὁ Κριτόλαος ἐχρῆτο καὶ τοιούτῳ λόγῳ· τὸ αἴτιον αὑτῷ τοῦ ὑγιαίνειν ἄνοσόν ἐστιν, ἀλλὰ καὶ τὸ αἴτιον αὑτῷ τοῦ ἀγρυπνεῖν ἄγρυπνόν ἐστιν· | εἰ δὲ τοῦτο, καὶ τὸ αἴτιον αὑτῷ τοῦ ὑπάρχειν 246 B.

1 δὲ ἅπαξ L 2 ἤρξα(ν)το (ν add. e corr.) V 2. 3 καὶ ἐνόπλους om. V 3 ἐτερατεύσαντο (ν e corr. add.) V 4 ὕφαιστος P 5 εἰς ὅπλισιν Diels: ἰσόπαις ἦν libri: ὁπλίσεως ἦν Bernays: ὅπλων ἦν Buecheler ἡμερώτερον L ὁ ἄνθρωπος] ὁ om. V 7 κηρύκια L: κηρύκιον VM: oblitt. in P ἀναδῦναι LV: ἀναδοῦναι PM 7. 8 συμβαντηρίων PM 9 καταγγέλλει M 11 ἐξελήλεκται PM 13 ὡς εἰς LV: ὡς εἰ PM σωτηρίως] δαιμορίως V 14 καὶ τῶν] τῶν om. PM 15 ἴσχυσε L: ἴσχυσεν V: ἴσχυε PM ἡμῶν λαβεῖν V 17 δὲ αἴδιον M 18 ἀγένητος L: ἀγέννητος VPM 20 δὲ ὁ L 21 αὑτῷ (bis) V: αὐτῷ LPM

7 Leg. ad. C. 13 (II 560 M.) πάλιν κηρύκειον ἀναλαμβάνει, δεῖγμα συμβατηρίων σπονδῶν 13 Plat. Tim. 91 D ὡς εἰς ἄρουραν τὴν μήτραν ἀόρατα ὑπὸ σμικρότητος καὶ ἀδιάπλαστα ζῷα κατασπείραντες. Cf. De spec. leg. III 6 (II 305 M.) 15 Aristot. De anim. 415a26, et passim; Plato Sympos. 206 C, 208 B. Philo, De mut. nom. c. 11 (I 590 M.) Τὸ μὲν γὰρ εἶδος καὶ βραχὺ καὶ φθαρτόν, τὸ δὲ γένος πολὺ καὶ ἄφθαρτον. Βούλεται δὲ ὁ θεὸς ἀντὶ μικρῶν καὶ φθαρτῶν μεγάλα καὶ ἄφθαρτα χαρίζεσθαι ... De opif. m. c. 13 (13,13 C.) ἐβουλήθη ὁ θεὸς δολιχεύειν τὴν φύσιν ἀθανατίζων τὰ γένη καὶ μεταδιδοὺς αὐτοῖς αἰδιότητος. Cf. De cher. 2 (I 139 M.), Vita Mosis II 11 (II 141 M.), Quis rer. div. her. 7 (I 478 M.) 22 Ocell. Lucanus I § 9 τὸ τοῖς ἄλλοις αἴτιον γινόμενον τῆς αὐτοτελείας, αὐτὸ ἐξ ἑαυτοῦ αὐ-

ἀίδιόν ἐστιν. αἴτιος δ' ὁ κόσμος αὐτῷ τοῦ ὑπάρχειν, εἴγε καὶ τοῖς ἄλλοις ἅπασιν. ἀίδιος ἄρα ὁ κόσμος ἐστίν.

Οὐ μὴν ἀλλὰ κἀκεῖνο σκοπεῖν ἄξιον ὅτι πᾶν τὸ γενόμενον ἐν ἀρχῇ μὲν δεῖ πάντως ἀτελὲς εἶναι, χρόνου δὲ προιόντος αὔξεσθαι μέχρι παντελοῦς τελειώσεως· ὥστε, εἰ γέγονεν ὁ κόσμος, ἦν μέν ποθ', ἵνα κἀγὼ χρήσωμαι τοῖς ἡλικιῶν ὀνόμασι, κομιδῇ νήπιος, ἐπιβαίνων δ' αὖθις ἐνιαυτῶν περιόδοις καὶ μήκεσι χρόνων ὀψὲ καὶ μόλις ἐτελειώθη· τοῦ γὰρ μακροβιωτάτου βραδεῖα ἐξ ἀνάγκης ἀκμή. τὸν δὲ κόσμον εἴ τις νομίζει 496 M. χρήσασθαί ποτε ταῖς τοιαύταις μεταβολαῖς, ἀθεραπεύτῳ μανίᾳ κεκρατημένος μὴ ἀγνοείσθω. δῆλον γὰρ ὡς οὐ μόνον αὐτοῦ τὸ σωματοειδὲς αὐξηθήσεται, λήψεται δὲ καὶ ὁ νοῦς ἐπίδοσιν, ἐπεὶ καὶ οἱ φθείροντες αὐτὸν λογικὸν εἶναι ὑπονοοῦσιν. οὐκοῦν ἀνθρώπου τρόπον ἐν ἀρχῇ μὲν τῆς γενέσεως ἄλογος ἔσται, περὶ δὲ τὴν ἀκμάζουσαν ἡλικίαν λογικός, ἅπερ οὐ μόνον λέγειν ἀλλὰ καὶ ὑπονοεῖν ἀσεβές. τὸν γὰρ τελειότατον ὁρατῶν ⟨θεῶν⟩ περίβολον καὶ τοὺς ἐν μέρει περιέχοντα κληρούχους | πῶς οὐκ ἄξιον ὑπολαμβάνειν ἀεὶ 247 B. τέλειον κατά τε σῶμα καὶ ψυχήν, ἀμέτοχον κηρῶν, αἷς τὸ γενητὸν καὶ φθαρτὸν πᾶν συνέζευκται;

Πρὸς δὲ τούτοις φησὶ τριττὰς αἰτίας δίχα τῶν ἔξωθεν ὑποβεβλῆσθαι ζῴοις τελευτῆς, νόσον, γῆρας, ἔνδειαν. ὧν οὐδεμιᾷ τὸν κόσμον ἁλωτὸν εἶναι· πεπηγέναι τε γὰρ ἐξ ὅλων τῶν στοιχείων, ὡς ὑπὸ μηδενὸς ὑπολειφθέντος καὶ ἀπελευθεριάζοντος μέρους βιασθῆναι, κατακρατεῖν τε τῶν δυνάμεων, ἐξ ὧν αἱ ἀσθένειαι. τὰς δ' ὑπεικούσας ἄνοσον καὶ ἀγήρων αὐτὸν

1 δὲ ὁ PM 4 δεῖ πάντως Bernays: δὴ πάντως LV: δὴ πάντως δεῖ PM 5 ὥστε om. in lac. III litt. L 6 νηπίως L 10 ἀγνοείτω Turneb. 13 ἔσται e corr. L[1] περὶ δὲ LV: παρὰ PM 14 ὁρατῶν θεῶν scripsi cf. 34,5 et testim.: ὁρατ. (sic) L: ὁρατὸν VPM: τῶν ὁρατῶν Buecheler 15 κληρούχους] vix sanum cf. ind.: κληδούχους dubit. coni. Diels, cf. De monarch. II 1 (II 222 M.) ἱερέας, et Doxogr. 592,32 16 γενητὸν L: γεννητὸν VM oblitt. in P 17 φθαρτὸν LPM: ἄφθαρτον V 18 τριτὰς M 20 τε LV: τὸ PM ὡς ὑπὸ Buecheler: ὡς ἅτε libri: ὡς ante βιασθῆναι transpos. Mangey ex gloss. p. 9,1 20. 21 ὑπολειφθέντος ex ὑποληφθέντος corr. P 21 κατακρατεῖν] κατακρατῶν L ἀγήρων scripsi, cf. 9,15: ἀγήρω LV cum hiatu: ἀγείρω P: ἀγ(η)ρω e corr. M 22 αὐτὴν L

τοτελές ἐστι, καὶ τὸ τοῖς ἄλλοις αἴτιον γινόμενον τῆς σωτηρίας καὶ διαμονῆς αὐτὸ ἐξ ἑαυτοῦ σωζόμενον καὶ διαμένον ἐστί ... Ὁ δέ γε κόσμος αἴτιός ἐστι τοῖς ἄλλοις τοῦ εἶναι ... αὐτὸς ἄρα ἐξ ἑαυτοῦ ἀίδιός ἐστι. 14 De opif. mundi c. 7 (8,11 M.) (θεὸς) πρῶτον ἐποίησε τὸν οὐρανόν ... διότι θεῶν ἐμφανῶν τε καὶ αἰσθητῶν ἔμελλεν οἶκος ἔσεσθαι ἱερώτατος. De somn. I c. 22 (I 642 M.) (Ἀὴρ) οἷα πόλις εὐανδρεῖ, πολίτας ἀφθάρτους καὶ ἀθανάτους ἔχων ψυχὰς ἰσαρίθμους ἄστροις. Cf. De monarch. II 1 (II 222 M.)

διαφυλάττειν· αὐταρκέστατόν τε αὐτὸν αὑτῷ καὶ ἀνεπιδεᾶ παντὸς γεγονέναι,
μηδενὸς τῶν εἰς διαμονὴν ὑστερίζοντα, τὰς κενώσεως καὶ πληρώσεως ἐν
μέρει διαδοχὰς ἀπωσάμενον, αἷς διὰ τὴν ἄμουσον ἀπληστίαν τὰ ζῷα χρῆ- 10
σθαι, θάνατον ἀντὶ ζωῆς μνώμενα ἤ, τό γε ἀσφαλέστερον εἰπεῖν, οἰκτρότερον
βίον ἀπωλείας.

Ἔτι τοίνυν εἰ μὲν μηδεμία φύσις αἴδιος ἑωρᾶτο, ἧττον ἂν ἠδίκουν οἱ
φθορὰν εἰσηγούμενοι τοῦ κόσμου. μηδὲν γὰρ ἔχοντες παράδειγμ' αἰδιότητος,
ἐδόκουν [οἱ φθορὰν εἰσηγούμενοι τοῦ κόσμου] ἂν εὐπροφάσιστα | διδά- 248 B.
σκειν· ἐπεὶ δὲ εἱμαρμένη κατὰ τοὺς ἄριστα φυσιολογοῦντας ἄναρχος καὶ ἀτε-
λεύτητός ἐστιν, εἴρουσα τὰς ἑκάστων ἀνελλιπῶς καὶ ἀδιαστάτως αἰτίας, τί
δήποτ' οὐχὶ καὶ τὴν τοῦ κόσμου φύσιν λεκτέον εἶναι μακραίωνα, τὴν τάξιν
τῶν ἀτάκτων, τὴν ἁρμονίαν τῶν ἀναρμόστων, τὴν συμφωνίαν τῶν ἀσυμφώ-
νων, τὴν ἕνωσιν τῶν διεστηκότων, τὴν ξύλων μὲν καὶ λίθων ἕξιν, σπαρτῶν 5
τε καὶ δένδρων φύσιν, ψυχὴν δὲ ζῴων ἁπάντων, ἀνθρώπων δὲ νοῦν καὶ
λόγον, ἀρετὴν δὲ σπουδαίων τελειοτάτην; εἰ δ' ἡ τοῦ κόσμου φύσις ἀγένη-
τός τε καὶ ἄφθαρτος, δῆλον ὅτι καὶ ὁ κόσμος, αἰωνίῳ συνεχόμενος καὶ
διακρατούμενος δεσμῷ.

Νικηθέντες δ' ὑπὸ τῆς ἀληθείας καὶ τῶν ἀντιδοξούντων ἔνιοι μετεβά-
λοντο· προσκλητικὴν γὰρ ἔχει δύναμιν τὸ κάλλος, τὸ δ' ἀληθὲς | δαιμονίως 497 M.
ἐστὶ καλόν, ὡς τὸ ψεῦδος ἐκτόπως αἰσχρόν. Βοηθὸς γοῦν ὁ Σιδώνιος 11

1 αὐτῷ V: αὑτῷ PM: αὐτῶν L πάντως Buecheler, at cf. Parmen. v. 88 K. 95 St.: ἔστι γὰρ οὐκ ἐπιδευές, ἐὸν δ' ἂν παντὸς ἐδεῖτο [Diels] 2 ὑστερίζοντος PM 6 ἠδίκουν Buecheler, cf. ind. s. v.: ἐδόκουν libri 6. 7 οἱ φθορὰν εἰσηγούμενοι τοῦ κόσμου del. Bernays qui ἐδόκουν quoque excl. 7 παράδειγμ' αἰδιότητος Bernays: παράδειγμα ἰδιότητος LV: παράδειγμα αἰδιότητος PM 8 ἂν εὐπροφάσιστα LVP: ἂν εὐπροφάσητα M: ἄνευ προφάσεως Turneb. 8. 9 διδάσκειν scripsi: ἀδικεῖν libri: λέγειν Buecheler 10 τὰς] τοὺς P 12 ἀναρμότων PM 12. 13 (ασυ)μφώνων e corr. M 15. 16 ἀγένητός τε L: ἀγέννητός τε PM: ἀγέννητος V 16 αἰωνίῳ Turneb.: αἰῶνι LV: αἰώνιος PM καὶ] δὲ καὶ ut vid. P 18 δ' ὑπο V: δὲ ὑπὸ LPM 19 προσελκτικὴν coni. Mangey 20 ὁ Σιδώνιος L: ὁ ἰδιώνιος V: ἡ σιδώνιος PM: καὶ Ποσιδώνιος Turneb.

2 seq. Plat. Tim. 73 A ... ὅπως μὴ ταχὺ διεκπερῶσα ἡ τροφή, πάλιν τροφῆς ἑτέρας δεῖσθαι τὸ σῶμα ἀναγκάζοι, καὶ παρέχουσα ἀπληστίαν διὰ γαστριμαργίαν ἀφιλόσοφον καὶ ἄμουσον πᾶν ἀποτελοῖ τὸ γένος, ἀνυπήκοον τοῦ θειοτάτου τῶν παρ' ἡμῖν. 13 Quod deus immut. c. 7 (I 278 M.) (θεὸς) τῶν σωμάτων τὰ μὲν ἐνεδύσατο ἕξιν, τὰ δὲ φύσιν, τὰ δὲ ψυχήν, τὰ δὲ λογικὴν ψυχήν. λίθων μὲν οὖν καὶ ξύλων ... δεσμὸν κραταιότατον ἕξιν εἰργάσατο ... τὴν δὲ φύσιν ἀπένειμε τοῖς φυτοῖς ... ψυχὴν δὲ φύσεως τρισὶ διαλλάττουσαν ὁ ποιῶν ἐποίει αἰσθήσει, φαντασίᾳ, ὁρμῇ ... τῶν δὲ ζῴων ἕκαστον ἀθρόων μετέχει τῶν εἰρημένων ... τοσούτοις μὲν ζῷα προέχει φυτῶν, ἄνθρωπος ἐξαίρετον γέρας ἔλαχε διάνοιαν. cf. De op. mundi 24 (25, 17 seq. C.)

καὶ Παναίτιος, ἄνδρες ἐν τοῖς Στωικοῖς δόγμασιν ἰσχυκότες, ἅτε θεόληπτοι, τὰς ἐκπυρώσεις καὶ παλιγγενεσίας καταλιπόντες πρὸς ὁσιώτερον δόγμα τὸ τῆς ἀφθαρσίας τοῦ κόσμου πάντως ηὐτομόλησαν. λέγεται δὲ καὶ Διογένης 14 ἡνίκα νέος ἦν συνεπιγραψάμενος | τῷ δόγματι τῆς ἐκπυρώσεως ὀψὲ τῆς 502,31 M. ἡλικίας ἐνδοιάσας ἐπισχεῖν· οὐ γὰρ νεότητος ἀλλὰ γήρως τὰ | σεμνὰ καὶ 249 B. περιμάχητα διιδεῖν, καὶ μάλισθ' ὅσα μὴ δικάζει ἡ ἄλογος καὶ ἀπατηλὸς αἴσθησις ἀλλ' ὁ καθαρώτατος καὶ ἀκραιφνέστατος νοῦς.

16. Ἀποδείξεσι δ' οἱ περὶ τὸν Βοηθὸν κέχρηνται πιθανωτάταις, ἃς αὐτίκα λέξομεν· εἰ, φασί, γενητὸς καὶ φθαρτὸς ὁ κόσμος, ἐκ τοῦ μὴ ὄντος τι γενήσεται, ὅπερ καὶ τοῖς Στωικοῖς ἀτοπώτατον εἶναι δοκεῖ. διὰ τί; ὅτι 5 οὐδεμίαν φθορο|ποιὸν αἰτίαν εὑρεῖν ἔστιν, οὔτ' ἐντὸς οὔτ' ἐκτός, ἣ τὸν 503 M. κόσμον ἀνελεῖ· ἐκτὸς μὲν γὰρ οὐδέν ἐστιν ὅτι μὴ τάχα που κενόν, τῶν στοιχείων ἀποκριθέντων εἰς αὐτὸν ὁλοκλήρων, εἴσω δ' οὐδὲν νόσημα τοιοῦτον ὃ γένοιτ' ἂν αἴτιον θεῷ τοσούτῳ διαλύσεως. εἰ δ' ἀναιτίως φθείρεται, δῆλον ὅτι ἐκ τοῦ μὴ ὄντος ἔσται ἡ γένεσις τῆς φθορᾶς, ὅπερ οὐδ' ἡ διάνοια 10 παραδέξεται.

Καὶ μὴν φασιν, ὅτι γενικοὶ τρόποι φθορᾶς εἰσι τρεῖς· ὅ τε κατὰ διαίρεσιν καὶ ὁ κατὰ ἀναίρεσιν τῆς ἐπεχούσης ποιότητος καὶ ὁ κατὰ σύγχυσιν. τὰ μὲν οὖν ἐκ διεστηκότων, αἰπόλια, βουκόλια, χοροί, στρατεύματα, ἢ πάλιν ἐκ συναπτομένων σώματα παγέντα διαστάσει καὶ διαιρέσει λύονται. 15 κατὰ δὲ ἀναίρεσιν τῆς ἐπεχούσης | ποιότητος ὁ μετασχηματιζόμενος κηρὸς 250 B. ἢ καταλεαινόμενος ἵνα μηδὲ ἑτεροειδῆ τινα παράσχῃ τύπον μορφῆς· κατὰ δὲ σύγχυσιν, ὡς ἡ παρὰ ἰατροῖς τετραφάρμακος· αἱ γὰρ δυνάμεις

1 Παναίτιος Turneb.: πάνεπος libri 2 τὰς ἐκπ.] καὶ τὰς ἐκπ. V ὁσιώτερον scripsi, cf. 32,22: θειότερον libri 2. 3 τὸ τῆς] τὸ om. V 3 πάντως Buecheler: παντὸς libri 5 ἐν(δοι)ασας e corr. L[1]: ἐνδύασας VPM γὰρ νεότητος] γενναιότατος L 6 διιδεῖν L: δεῖ ἰδεῖν VP: δεῖ εἰδεῖν M ἀπατηλὸς libri: ἀπατηλὴ Turn. 8 οἱ περὶ] ὁ περὶ V πιθανωτάταις VM ἃς LE: αἷς VPM 9 εἰ φασι] φάσι γὰρ εἰ E γεννητὸς Va 10 δοκεῖ εἶναι E 11 εὑρεῖν αἰτίαν PM 14 θεῷ scripsi cf. p. 33,6. 4, 17: τῷ libri 15 δῆλον ὅτι VE: δηλονότι LPM οὐδ' ἡ VPME: οὐδὲ L 17 φθορᾶς τρόποι E 18 καὶ ὁ] καὶ om. PM 18. 21 καὶ ὁ — ποιότητος om. E 19 στρατεύματα om. E 20 συναπτομένων Turneb.: συναπτομένου libri σώματος LE τῇ διαστάσει PM λύεται VE 21 κηρὸς ἢ καταλεαινόμενος Diels: κηρὸς ἢ και λεαινόμενος LPM: om. VE 22 τινα om. v παράσχῃ VPME: περίσχῃ L τύπον πάρασχῃ E 23 ἰητρούς V

7 De op. mundi 2 (2,19 C.) νοῦς ἐστιν εἰλικρινέστατος καὶ ἀκραιφνέστατος 23 seq. De confus. lingu. c. 37 (I 433 M.) Σύγχυσις δ' ἐστὶ φθορὰ τῶν ἐξ ἀρχῆς ποιοτήτων ... ὡς ἐπὶ τῆς ἐν ἰατρικῇ τετραφαρμάκου συντέτευχε. Κηρὸς γὰρ καὶ στέαρ καὶ πίττα ῥητίνη τε, οἶμαι, συνελθόντα ταύτην ἀποτελεῖ. συνδεθείσης δ' ἀμήχανον ἐπὶ τὰς ἐξ ὧν συνετέθη διακριθῆναι δυνάμεις, ἀλλ' ἑκάστη μὲν αὐτῶν ἠφάνισται, πασῶν δὲ φθορὰ μίαν ἐξαίρετον ἄλλην ἐγέννησε

τῶν συνενεχθέντων ἠφανίσθησαν εἰς ἐξαιρέτου μιᾶς γένεσιν ἀποτελεσθείσης· ποίῳ δὴ τούτων ἄξιον τὸν κόσμον φθείρεσθαι φάναι; τῷ κατὰ διαίρεσιν; ἀλλ' οὔτε ἐκ διεστηκότων ἐστίν, ὡς τὰ μέρη σκεδασθῆναι, οὔτ' ἐκ συναπτομένων, ὡς διαλυθῆναι. οὔτε τὸν αὐτὸν τρόπον τοῖς ἡμετέροις ἥνωται σώμασι· τὰ μὲν γὰρ ἐπικήρως τε ἐξ ἑαυτῶν ἔχει καὶ δυναστεύεται πρὸς μυρίων ὑφ' ὧν βλάπτεται, τοῦ δ' ἀήττητος ἡ ῥώμη πολλῇ τινι περιουσίᾳ πάντων καταχρατοῦσα. ἀλλ' ἀναιρέσει παντελεῖ τῆς ποιότητος; ἀλλ' ἀμήχανον τοῦτό γε· μένει γὰρ κατὰ τοὺς τἀναντία αἱρουμένους ἡ τῆς διακοσμήσεως ποιότης ἐπ' ἐλάττονος οὐσίας τῆς τοῦ Διός σταλεῖσα κατὰ τὴν ἐκπύρωσιν. ἀλλὰ τῷ κατὰ σύγχυσιν; ἄπαγε, δεήσει γὰρ πάλιν εἰς τὸ μὴ ὂν γίνεσθαι τὴν φθορὰν παραδέχεσθαι. τοῦ χάριν; ὅτι εἰ μὲν ἕκαστον ἐν μέρει τῶν στοιχείων ἐφθείρετο, μεταβολὴν ἐδύνατο τὴν εἰς ἕτερον δέχεσθαι, πάντων δὲ συλλήβδην ἀθρόων κατὰ σύγχυσιν ἀναιρουμένων, ἀνάγκη τοῦτο ὑπονοεῖν ἀδύνατον. |

Ἔτι πρὸς τούτοις, ἐὰν ἐκπυρωθῇ, φασί, τὰ πάντα, τί κατ' ἐκεῖνον ὁ 251 B. θεὸς πράξει τὸν χρόνον; ἢ τὸ παράπαν οὐδέν; καὶ μήποτ' εἰκότως· νυνὶ μὲν γὰρ ἕκαστα ἐφορᾷ καὶ πάντων οἷα γνήσιος πατὴρ ἐπιτροπεύει καί, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἡνιόχου καὶ κυβερνήτου τρόπον ἡνιοχεῖ καὶ πηδαλιουχεῖ τὰ σύμπαντα, ἡλίῳ τε καὶ σελήνῃ καὶ τοῖς ἄλλοις πλάνησι καὶ ἀπλανέσιν

1 ἐξαιρέτους E ἀποτελεσθεῖσαι E 2 τούτῳ L φθαρήσεσθαι E 3 ἀλλ' οὔτε LVE: ἀλλ' οὐκ PM οὔτ' ἐκ συναπτ. VM: οὔτε ἐκ συναπτ. LPE 5 ἑαυτῶν LVE: αὐτῶν PM 6 ἀφ' ὧν E 7 πάντων VPME cf. 13,4: πάντα L ἀλλὰ P παντελεῖ VPE et ut vid. L: παντελῆ M 8 τὰ ἐναντία a 9 οὐσίας τῆς τοῦ Διὸς σταλεῖσα coni. Bernays in comm.: οὐσίας τῇ τοῦ ἰδιοσταλεῖσα E: ουσίας τῇ του ... (spat. IV litt.) σταλεῖσα L: οὐσίας το (τε P?) τοῦ δι ... (sp. circa VII litt.) PM: ουσίας ... (spat. circa IX litt.) σταλεῖσα V 10 ἀλλὰ τῷ] ἀλλὰ τὸ M ὡς τὸ ra 11 γίγνεσθαι vr 12 ἠδύνατο E 13 πάντων δὲ] δὲ om. E ἀθρόων LV, cf. 42,18: ἀθρόον PME 14 τοῦτο ὑπονοεῖν scripsi: ὑπονοεῖν τὸ libri, propter sensum et propter hiatum mutandum. librarii correctio esse videtur qui corruptum textum τὸ ὑπονοεῖν emendare conatus est 15 φασί LV: φησὶ MP 15. 16 ὁ θεὸς πράξει VPM: πράξει ὁ θεὸς L 17 οἷα Turneb.: οἷος libri 18 πηδαληουχεῖ L 19 τε om. VPM ἀπλάνεσι L

δύναμιν. ibid. 38 (I 434) Σύγχυσις, ὡς ἔφην, ἐστὶν φθορὰ τῶν ἁπλῶν δυνάμεων εἰς συμπεφορημένης μιᾶς γένεσιν. Cf. Doxogr. gr. p. 464, 7. 16 seq. De migr. Abrah. c. 1 (I 437 M.) Τίς οὖν ἂν εἴη πλὴν ὁ λόγος ὁ πρεσβύτερος τῶν γένεσιν εἰληφότων, οὗ καθάπερ οἴακος ἐνειλημμένος ὁ τῶν ὅλων κυβερνήτης πηδαλιουχεῖ τὰ σύμπαντα. De op. mundi c. 14 (14,12 C.) ... ὅταν αὐτῷ (sc. τῷ πατρὶ) δοκῇ μὴ προσδεηθέντι τῶν κατ' οὐρανὸν ἐκγόνων (sc. astrorum), οἷς δυνάμεις μὲν ἔδωκεν, οὐ μὴν αὐτοκρατεῖς· οἷα γὰρ ἡνίοχος ἡνιῶν ἢ κυβερνήτης οἰάκων ἐνειλημμένος ἄγει ᾗ ἂν ἐθέλῃ κατὰ νόμον καὶ δίκην ἕκαστα. Cf. De praem. et poen. 8 (II 416 M.)

ἔτι δ' ἀέρι καὶ τοῖς ⟨ἄλλοις⟩ μέρεσι τοῦ κόσμου παριστάμενος καὶ συνδρῶν ὅσα πρὸς τὴν τοῦ ὅλου διαμονὴν καὶ τὴν κατ' ὀρθὸν λόγον ἀνυπαίτιον διοίκησιν. πάντων δ' ἀναιρεθέντων, ὑπ' ἀργίας καὶ ἀπραξίας | δεινῆς 504 M. ἀβιώτῳ βίῳ χρήσεται· οὗ τί γένοιτ' ἂν ἀτοπώτερον; ὀκνῶ λέγειν, ὃ μηδὲ θέμις ὑπονοεῖν, ὅτι ἀκολουθήσει θεῷ θάνατος, εἴ γε καὶ ἠρεμία· τὸ γὰρ ἀεικίνητον ἐὰν ἀνέλῃς ψυχῆς, καὶ αὐτὴν πάντως συνανελεῖς. ψυχὴ δὲ τοῦ κόσμου κατὰ τοὺς ἀντιδοξοῦντας ὁ θεός.

17. Ἐκεῖνο δ' οὐκ ἀνάξιον διαπορῆσαι, τίνα τρόπον ἔσται παλιγγενεσία, πάντων εἰς πῦρ ἀναλυθέντων. ἐξαναλωθείσης γὰρ τῆς οὐσίας ὑπὸ πυρός, ἀνάγκη καὶ τὸ | πῦρ οὐκέτ' ἔχον τροφὴν ἀποσβεσθῆναι. μένοντος 252 B. μὲν οὖν, ὁ σπερματικὸς τῆς διακοσμήσεως ἐσώζετ' ⟨ἂν⟩ λόγος, ἀναιρεθέντος δὲ συνανῄρηται. τὸ δ' ἔστιν ἔχθεσμον καὶ ἀσέβημα ἤδη διπλοῦν, μὴ μόνον φθορὰν τοῦ κόσμου κατηγορεῖν ἀλλὰ καὶ παλιγγενεσίαν ἀναιρεῖν, ὥσπερ ἐν ἀκοσμίᾳ καὶ ἀπραξίᾳ καὶ τοῖς πλημμελέσι πᾶσι χαίροντος θεοῦ. τὸν δὲ λόγον ἀκριβέστερον ὧδε διερευνητέον. πυρὸς τριττὸν εἶδος· τὸ μὲν ἄνθραξ, τὸ δὲ φλόξ, τὸ δὲ αὐγή. ἄνθραξ μὲν οὖν ἐστι πῦρ ἐν οὐσίᾳ γεώδει, ὃ τρόπον ἕξεως πνευματικῆς πεφώλευκε καὶ ἐλλοχᾷ δι' ὅλης ἄχρι περάτων τεταμένον. φλὸξ δέ ἐστιν ὅπερ ἐκ τροφῆς αἴρεται μετεωριζόμενον, αὐγὴ δὲ τὸ ἀποστελλόμενον ἐκ φλογός, συνεργὸν ὀφθαλμοῖς εἰς τὴν τῶν ὁρατῶν ἀντίληψιν. μέσην δὲ χώραν αὐγῆς τε καὶ ἄνθρακος εἴληχε φλόξ· σβεσθεῖσα μὲν γὰρ εἰς ἄνθρακα τελευτᾷ, ζωπυρουμένη δ' ἔχει φέγγος, ὃ τὴν καυστικὴν ἀφῃρημένον δύναμιν ἀστράπτει. εἰ κατὰ τὴν ἐκπύρωσιν οὖν τὸν κόσμον ἀναλύεσθαι φαῖμεν, ἄνθραξ μὲν οὐκ ἂν γένοιτο, διότι παμπληθὲς ὑπολείψεται τοῦ γεώδους, ᾧ τὸ πῦρ ἐγκατειλῆφθαι συμβέβηκεν. ἀρέσκει δὲ μηδὲν τότε τῶν ἄλλων ὑφεστάναι σωμάτων, ἀλλὰ γῆν καὶ ὕδωρ καὶ

1 ἄλλοις supplevi (cf. de vita Mos. testim. ad 10,6) παριστάμενα M 4 βίῳ] βίᾳ L 5 ὑπονοεῖν scripsi (cf. 14, 9. 23, 14): εἰπεῖν libri 6 αὐτὴν LV: αὐτὸ PM 7 θεὸς (om. ὁ) V 8 δ' οὐκ ἀνάξιον Bernays: δ' οὐκ ἄξιον LVPM: δ' ἄξιον E (υ superscr.): δ' οὖν ἄξιον Buecheler 9 ἀναλωθέντων V ἐξαναλωθείσης PME: ἐξαναλυθείσης LV 11 ἐσώζετ' ἂν Diels: ἐσώζετο libri ἐσώζετο λόγος τῆς διακοσμήσεως E ἀναιρεθέντος LPM: ἀναλυθέντος VE 12 τὸ δὲ E 13 ὥσπερ ἐν L (cf. Cohnii proleg. p. LII): ὥσπερ VPME: ὥσπερ ἂν coni. Buecheler 15 ὧδε LVP: ἤδη ME 16 ἐστιν M οὐσίᾳ om. VE 17 πεφόλευκε M 18 τετάμμενον M μετεοριζόμενοι a 20 τε om. V σβεθεῖσα V 21 καυτικὴν P 23 φαῖμεν Buecheler: φῶμεν e φαμεν corr. V: φῶμεν LPME 24 ὑπολείψεται Turneb.: ὑπολήψεται libri (E quoque quamvis ὑπολήψεως Aldus habeat) ᾧ] ὡς V ἐγκατειλῆφθαι E: ἐγκατειλεῖσθαι LVM: ἐγκαταλελ(εῖσθαι) P συμβέβηκε L

1 Plat. Phaedr. 245 C. ψυχὴ πᾶσα ἀθάνατος· τὸ γὰρ ἀεικίνητον ἀθάνατον· τὸ δ' ἄλλο κινοῦν καὶ ὑπ' ἄλλου κινούμενον παῦλαν ἔχον κινήσεως παῦλαν ἔχει ζωῆς 19 De opif. mundi 17 (17, 14 C) χρεῖος ... ὀφθαλμὸς δὲ φωτὸς εἰς τὴν τῶν σωμάτων ἀντίληψιν

ἀέρα εἰς | ἄκρατον πῦρ ἀναλελύσθαι. καὶ μὴν οὐδὲ φλόξ· ἅμμα γὰρ τροφῆς 253 B. ἐστι, μηδενὸς δὲ καταλειφθέντος ἀτροφήσασ᾽ αὐτίκα ἀποσβεσθήσεται. τούτοις ἕπεται τὸ μηδ᾽ αὐγὴν ἀποτελεῖσθαι· καθ᾽ ἑαυτὴν γὰρ ὑπόστασιν οὐκ ἔχει, ῥεῖ δ᾽ ἀπὸ τῶν προτέρων, ἄνθρακος καὶ φλογός, ἀφ᾽ οὗ μὲν ἐλάττων, πολλὴ δ᾽ ἀπὸ φλογός· χεῖται γὰρ ἐπὶ μήκιστον. ἐκείνων δ᾽, ὡς ἐδείχθη, κατὰ τὴν ἐκπύρωσιν οὐκ ὄντων οὐδ᾽ ἂν αὐγὴ γένοιτο· καὶ γὰρ ἡ μεθημερινὴ πολλὴ καὶ βαθεῖα αὐγή, τὸν ὑπὸ γῆς ἡλίου δρόμον ἰόντος, εὐθὺς ἀφανίζεται νυκτί, καὶ μάλιστ᾽ ἀσελήνῳ. | οὐ τοίνυν ἐκπυροῦται ὁ κόσμος, 505 M. ἀλλ᾽ ἔστιν ἄφθαρτος· εἰ δ᾽ ἐκπυρωθήσεται, ἕτερος οὐκ ἂν γένοιτο.

18. Διὸ καί τινες τῶν ἀπὸ τῆς Στοᾶς ὀξυδερκέστερον ἐκ μακροῦ θεασάμενοι τὸν ἐπιφερόμενον ἔλεγχον ἠξίωσαν ὥσπερ θανατῶντι κεφαλαίῳ βοηθήματα προευτρεπίζεσθαι· τὰ δ᾽ οὐδὲν ἦν ὄφελος. ἐπειδὴ γὰρ αἴτιον κινήσεώς ἐστι τὸ πῦρ, κίνησις δὲ γενέσεως ἀρχή, γενέσθαι δ᾽ ἄνευ κινήσεως ὁτιοῦν ἀδύνατον, ἔφασαν ὅτι μετὰ τὴν ἐκπύρωσιν, ἐπειδὰν ὁ νέος κόσμος μέλλῃ δημιουργεῖσθαι, σύμπαν μὲν τὸ πῦρ | οὐ σβέννυται, ποσὴ δέ 254 B. τις αὐτοῦ μοῖρα ὑπολείπεται· πάνυ γὰρ ηὐλαβήθησαν μὴ σβεσθέντος ἀθρόου μείνῃ τὰ πάντα ἡσυχάσαντα ἀδιακόσμητα, τοῦ τῆς κινήσεως αἰτίου μηκέτ᾽ ὄντος. εὑρησιλογούντων δὲ πλάσματα ταῦτ᾽ ἐστὶ καὶ κατὰ τῆς ἀληθείας τεχναζόντων. τί δήποτε; ὅτι τὸν κόσμον ἐκπυρωθέντα γενέσθαι μὲν ἄνθρακι παραπλήσιον ἀμήχανον, ὡς δέδεικται, γεώδους πολλῆς ⟨ἂν⟩ ἀνθυπολειφθείσης οὐσίας ᾗ δεήσει τὸ πῦρ ἐλλοχᾶν, ἴσως δ᾽ οὐδ᾽ ἐκπυρώσεως τότε κρατούσης, εἴ γε μένει τὸ στοιχείων βαρύτατον καὶ δυσαναλωτότατον ἔτι γῆ μὴ διαλυθεῖσα· μεταβάλλειν δὲ ἢ εἰς φλόγα ἢ εἰς αὐγὴν ἀναγκαῖον· εἰς μὲν φλόγα, ὡς ᾤετο Κλεάνθης, εἰς δ᾽ αὐγήν, ὡς ὁ Χρύσιππος. ἀλλ᾽ εἴτε φλὸξ γίνεται, τραπομένη πρὸς σβέσιν ἅπαξ οὐκ ἐκ μέρους ἀλλ᾽ ἀθρόα σβεσθήσεται· συνυπάρχει γὰρ τῇ τροφῇ· διὸ πολλῆς μὲν οὔσης ἐπιδίδωσι

---

1 ἀναλύεσθαι E   ἅμμα PVE: ἅμα LM   τροφῆς libri: τροφῇ Turneb.   2 μηδενὸς γὰρ L   ἀτροφήσασ᾽ PM: ἀτροφήσασα LVE   3 ἕπεσται V   4 δὲ ἀπὸ LVE   4. 5 ἀφ᾽ οὗ ... φλογός om. L   4 ἐλάττων PM: ex ἐλαττόνων corr. V: ἔλαττον E   5 πολλὴ] πολὺ E   δὲ ἀπὸ P   6. 7 ἡ μεθημερινὴ] ἡμερινὴ V   8 μαλιστ᾽ PM: μάλιστα LV   10 τινος L   μακροῦ VPM: πολλοῦ L   12 προευτρεπίζεσθαι VPM (cf. Cohn. prol. p. LV): εὐτρεπίζεσθαι L   οὐδὲν LV: οὐδ᾽ PM   ὄφελος ἦν V   13 γενήσεως L   15 μέλλει PM   17 μείνῃ] μένη Turneb.   18 εὑρησιλογούντων LM: εὑρεσιλογούντων VP   20 ἀμήχανον LPM: ἀδύνατον V   20. 21 ἂν ἀνθυπολειφθείσης scripsi: ἀνθυπολειφθείσης (ἀνθ᾽ ὑπολειφθείσης P) libri: ἂν ὑπολειφθείσης Buecheler   21 οὐδ᾽ Buecheler: οὐκ libri   22 στοιχείων LV: στοιχεῖον PM   δυσαναλωτότατον LV: δυσαναλώτατον PM: δυσαναλυτώτατον Buecheler   23 μεταβαλλ (sic) L   25 ἅπαξ] ἅπερ L   ἀλλ᾽ ἀθρόα Turneb. cf. 29,7: ἀλλὰ λάθρα libri   26 συνυπάρχει VM: συνυπαρ P (with χ written above): συνυπάρχῃ L   τῇ τροφῇ coni. Mangey cf. 29,9: ἡ τροφὴ libri   πολῆς V

καὶ χεῖται, συστελλομένης δὲ μειοῦται. τεκμηριώσαιτο δ' ἄν τις ἀπὸ τῶν παρ' ἡμῖν τὸ γινόμενον. ὁ λύχνος ἕως μέν τις ἔλαιον ἄρδει, περιφεγγεστάτην ἀποδίδωσι φλόγα· ἐπειδὰν δ' ἐπίσχῃ, δαπανήσας ὅσον τῆς τροφῆς λείψανον αὐτίκα κατεσβέσθη, μηδὲν μέρος ταμιευσάμενος τῆς φλογός. εἰ δὲ μὴ τοῦτο, ἀλλ' αὐγὴ | γίνεται, πάλιν ἀθρόα μεταβάλλει. διὰ τί; ὅτι 255 B.
ὑπόστασιν ἰδίαν οὐκ ἔχει, γεννᾶται δ' ἐκ φλογός, ἧς ὅλης δι' ὅλων σβέσιν λαμβανούσης, ἀνάγκη καὶ τὴν αὐγὴν μὴ κατὰ μέρος ἀλλ' ἀθρόαν ἀναιρεῖσθαι. ὃ γὰρ πρὸς τροφὴν φλόξ, τοῦτο αὐγὴ πρὸς φλόγα· καθάπερ οὖν τροφῇ συναναιρεῖται φλόξ, καὶ αὐγὴ φλογί. ὥστ' ἀμήχανον παλιγγενεσίαν τὸν κόσμον λαβεῖν, μηδενὸς ἐντυφομένου σπερματικοῦ λόγου, πάντων δὲ δαπανηθέντων, τῶν μὲν ἄλλων ὑπὸ πυρός, αὐτοῦ δ' ὑπ' ἐνδείας. ἐξ ὧν ἐστι δῆλον, ὅτι ἀγένητος καὶ ἄφθαρτος ὢν διατελεῖ.

19. Φέρε δ' οὖν, ὥς φησιν ὁ Χρύσιππος, τὸ ἀναστοιχειῶσαν τὴν διακόσμησιν εἰς αὐτὸ πῦρ τοῦ μέλλοντος ἀποτελεῖσθαι κόσμου σπέρμα εἶναι καὶ ὧν ἐπ' αὐτῷ πεφιλοσόφηκεν μηδὲν ἐψεῦσθαι, πρῶτον μὲν ὅτι καὶ ἐκ | σπέρματος ἡ γένεσις καὶ εἰς σπέρμα ἡ ἀνάλυσις, ἔπειτα δ' ὅτι 506 M.
φυσιολογεῖται ὁ κόσμος καὶ φύσις λογική, οὐ μόνον ἔμψυχος ὢν ἀλλὰ καὶ νοερὸς πρὸς δὲ καὶ φρόνιμος, ἐκ τούτων τοὐναντίον οὗ βούλεται κατασκευάζεται, τὸ μηδέποτε φθαρήσεσθαι. αἱ δὲ πίστεις προχειρόταται τοῖς συνεξετάζειν μὴ ἀποκνοῦσιν. οὐκοῦν ὁ κόσμος ἢ φυτόν, ⟨ὡς⟩ ἔοικεν, ἢ ζῷον. ἀλλ' εἴτε φυτόν ἐστιν εἴτε καὶ ζῷον, κατὰ τὴν ἐκπύρωσιν φθαρεὶς οὐδέποτε αὐτὸς αὑτοῦ γενήσεται σπέρμα. μαρτυρεῖ δὲ τὰ παρ' ἡμῖν, ὧν οὐδὲν οὐχ ἔλαττον οὐ | μεῖζόν ποτε φθαρὲν εἰς σπέρματος ἀπεκρίθη 256 B.

1 συστελλομένης L: στελλομένης VM: oblitt. in P τεκμηριώσαντο M: oblitt. in P 2 ἕως L: ὡς VM: oblitt. in P 3 ἀποδίδωσι PM: δίδωσι LV ἐπειδὰν δ' LV: ἐπειδὰν M: ἐπειδ' ἂν P 4 κατεσβέσθη L: κατέσβησε M: κατέσβη V: ἔσβη P μηδὲν] μηδὲ V ταμιεσάμενος V 5 ὅτι LVP: διότι M 6 ὑπόστησιν (om. ἰδίαν) M γεννᾶ τε L 8 ὁ γὰρ] ἡ γὰρ M 9 τροφῇ VP: τροφὴ L: τροφῆς M συναναιρεῖται VP: συναναιρεῖτο (αι in η corr.) L[1]: συνανερεῖτε M ὧστε P 10 ἐντυφωμένου M: oblitt. in P fortasse scrib. μὲν ἐντυφομένου 12 δηλονότι M ἀγένητος vr: ἀγέννητος LVPMa 13 φέρε LV: φέρει PM φησιν ὁ LV: φησι (om. ὁ) PM 14 αὐτὸ Turneb.: αὐτὸ libri 15 πεφιλοσόφηκεν L: πεφιλοσόφηκε VPM 16 ἀνάλυσις VM: ἀνάλωσις L: oblitt. in P 20 φυτόν, ὡς Diels: φυτῷ libri cum hiatu ζῷον L: ζῴῳ VPM 21 καὶ ζῷον] καὶ om. V 23 οὐχ ... οὐ] cave οὔτ' ... οὔτε conicias, cf. Vita Mosis I 35 (II 111 M.) οὐχ αὐθιγενὴς οὐ χειμάρρους κ. τ. λ., et supra 19,11 σπέρματος] σώματος M

15. 16 Ocell. Lucan. I § 13 Οἱ δὲ καρποὶ καὶ τὰ πλεῖστα τῶν ῥιζοφύτων ἀπὸ σπερμάτων ἀνέλαβον τὴν ἀρχὴν τῆς γενέσεως, καρπωθέντα δὲ καὶ τελεσφορήσαντα, πάλιν ἐπὶ τὸ σπέρμα τὴν ἀνάλυσιν ποιεῖται ... cf. De opif. mundi 13 (13,14 C.)

γένεσιν. οὐχ ὁρᾷς ὅσαι μὲν ἡμέρων φυτῶν ὗλαι, ὅσαι δὲ ἀγρίων κατὰ πᾶν μέρος τῆς γῆς ἀναχέχυνται; τούτων τῶν δένδρων ἕκαστον, ἄχρι μὲν ὑγιαίνει τὸ στέλεχος, ἅμα τῷ καρπῷ καὶ τὸ ὄχευμα τίκτει, μήκει δὲ χρόνων ἀφαυανθὲν ⟨ἢ⟩ καὶ ἄλλως αὐταῖς ῥίζαις φθαρὲν οὐδέποτε τὴν ἀνάλυσιν εἰς σπέρμα ἔλαβεν. τὸν αὐτὸν μέντοι τρόπον καὶ τὰ γένη τῶν ζῴων, ἃ μηδὲ εἰπεῖν διὰ πλῆθος ῥᾴδιον, ἄχρι μὲν περίεστι καὶ ἡβᾷ, σπέρμα προΐεται γόνιμον, τελευτήσαντα δ' οὐδαμῇ οὐδαμῶς γίνεται σπέρμα· καὶ γὰρ εὔηθες, ἄνθρωπον ζῶντα μὲν ὀγδόῳ μέρει ψυχῆς, ὃ καλεῖται γόνιμον, πρὸς τὴν τοῦ ὁμοίου σπορὰν χρῆσθαι, τελευτήσαντα δὲ ὅλον ἑαυτῷ· θάνατος γὰρ οὔτι ζωῆς ἀνυσιμώτερος. ἄλλως τε τῶν ὄντων οὐδὲν ἐκ μόνου σπέρματος δίχα τῆς οἰκείας τροφῆς ἀποτελεῖται· σπέρμα γὰρ ἔοικεν ἀρχῇ, ἀρχὴ δὲ καθ' αὑτήν οὐ τελειογονεῖ. μὴ γὰρ αὖ νομίσῃς τὸν στάχυν ἐκ μόνου τοῦ καταβληθέντος ὑπὸ γεωργῶν εἰς τὰς ἀρούρας βλαστάνειν πυροῦ. τὸ δὴ πλεῖστον εἰς αὔξησιν αὐτῷ συνεργεῖν ὑγρὰν τε καὶ ξηρὰν δεῖ τὴν ἐκ γῆς τροφήν. καὶ τὰ ἐν μήτραις μέντοι διαπλαττόμενα πέφυκεν οὐκ ἐκ μόνου ζῳογονεῖσθαι σπέρ|ματος, ἀλλὰ κἀκ τῆς ἔξωθεν ἀρδομένης τροφῆς, 257 B. ἣν ἡ κύουσα προσφέρεται. πρὸς δὴ τί ταῦτα λέγω; ὅτι κατὰ τὴν ἐκπύρωσιν σπέρμα μόνον ὑπολειφθήσεται, τροφῆς μὴ ὑπαρχούσης, ἁπάντων ὅσα τρέφειν ἔμελλεν εἰς πῦρ ἀναλυθέντων, ὥσθ' ὁ κατὰ τὴν παλιγγενεσίαν ἀποτελούμενος κόσμος χωλὴν καὶ ἀτελῆ γένεσιν ἕξει, τοῦ μάλιστα πρὸς τελείωσιν συνεργοῦντος, ᾧ καθάπερ βάκτρῳ τινὶ τὴν σπερματικὴν ἀρχὴν

---

1 ἡμέρων VPM: ἡμέραι L   3 τὸ ὄχευμα Bernays: τὸ ὄχημα VPM: τῶ ὄχημα (acc. super η eraso) L   4 ἀφαυανθέν coni. Mangey: ἀφ..ανθεν (sic) L: ἀφανθὲν V: ἀφανισθέν PM   ἢ addidi   5 σπέρμα LPM: σπέρματα V   ἔλαβεν LVM: ἔλαβε P   7 τελευτήσαντα LPM: τελευτήση V   οὐδαμῶς οὐδαμῶς V   σπόριμα coni. Mangey   8 τῆς ψυχῆς V   9 τελευτήσαντα VP: τελευτῆσαν LM   ὅλον libri: ὅλῳ vitioso hiatu Turneb.   10 ζωῆς οὔτι M   ἄλλως] an ὅλως? Diels   12 ἀρχῇ] ἡ ἀρχή V   αὑτὴν LPM: ἑαυτὴν V   14 δὴ Buecheler: δὲ libri   δεῖ τὴν Buecheler: διττὴν libri   16 κἀκ Diels, cf. ind. s. v. ἄρδω: καὶ libri   17 ἣν initio versiculi iteravit L   λέγων PM   19 ἀναλυθέντων libri: ἀναλωθέντων Buecheler sed cf. 31,14   20 χωλὴν καὶ ἀτελῆ PM cf. ind.: χολὴν ἀτελῆ καὶ V: σχ. λην (sic) καὶ ἀτελῆ L   21 ᾧ PM: ὡς LV

---

8 De opif. m. c. 40 (44,12 C.) τῆς ἡμετέρας ψυχῆς τὸ δίχα τοῦ ἡγεμονικοῦ μέρος ἑπταχῇ σχίζεται, εἰς πέντε αἰσθήσεις καὶ τὸ φωνητήριον ὄργανον καὶ ἐπὶ πᾶσι τὸ γόνιμον. (cf. Stoicorum placita Doxogr. p. 410a30) seq. et Cohnii notas l. c.   10 De opif. m. c. 22 (23,9 C.) τὸ σπέρμα τῶν ζῴων γενέσεως ἀρχὴν εἶναι συμβέβηκεν. Vita Mosis III 22 (II 162 M.) ἐν καρύῳ ταὐτόν ἐστιν ἀρχὴ καὶ τέλος, ἀρχὴ μὲν ἡ σπέρμα, τέλος δὲ ἡ καρπός. 13 De opif. m. c. 45 (49,13 C.) οὐδὲν τῶν γηγενῶν ἄνευ ὑγρᾶς οὐσίας συνίστασθαι πέφυκε· μηνύουσι δ' αἱ καταβολαὶ τῶν σπερμάτων, ἅπερ ἢ ὑγρά ἐστιν, ὡς τὰ τῶν ζῴων, ἢ οὐκ ἄνευ ὑγρότητος βλαστάνει, τοιαῦτα δὲ τὰ τῶν φυτῶν ἐστιν.

ἐφιδρύεσθαι συμβέβηκεν, ἐφθαρμένου. τοῦτο δ' ἦν ἄτοπον, ἐξ αὐτῆς ἐλεγχόμενον τῆς ἐναργείας.

Ἔτι τοίνυν ὅσα λαμβάνει τὴν γένεσιν ἐκ σπέρματος, μείζονα τὸν ὄγκον ἐστὶ τοῦ πεποιηκότος καὶ ἐν τόπῳ μείζονι θεωρεῖται· δένδρα γοῦν οὐρανομήκη πολλάκις ἀναβλαστάνει ἐκ βραχυτάτης κέγχρου καὶ ζῷα πιότατα καὶ περιμηκέστατα ἐξ ὀλίγου τοῦ προεθέντος ὑγροῦ. ἀλλὰ καὶ τὸ μικρῷ πρότερον εἰρημένον | συμβαίνει, κατὰ μὲν τὸν γειτνιῶντα τῇ γενέσει χρόνον 507 M. βραχύτερα τὰ γεννηθέντα εἶναι, μεγεθύνεσθαι δ' αὖθις ἄχρι παντελοῦς τελειώσεως. ἐπὶ δὲ τοῦ παντὸς γενήσεται τοὐναντίον. τὸ μὲν γὰρ σπέρμα καὶ μεῖζον ἔσται καὶ πλείονα τόπον ἐφέξει, τὸ δ' ἀποτέλεσμα βραχύτερον καὶ ἐν ἐλάττονι φανεῖται τόπῳ, καὶ ὁ κόσμος ἐκ σπέρματος συνιστάμενος οὐκ ἐκ τοῦ κατ' ὀλίγον ἐπιδώσει πρὸς αὔξησιν, ἀλλ' ἔμπαλιν ἐξ ὄγκου | μείζονος εἰς ἐλάττονα συναιρεθήσεται. τὸ δὲ λεγόμενον ῥάδιον συνιδεῖν· 258 B. ἅπαν σῶμα ἀναλυόμενον εἰς πῦρ ἀναλύεταί τε καὶ χεῖται, σβεννυμένης δὲ τῆς ἐν αὐτῷ φλογὸς στέλλεται καὶ συνάγεται· πίστεων δὲ τοῖς οὕτως ἐμφανέσι πρὸς μαρτυρίαν ὡς ἀδηλουμένοις οὐδεμία χρεία. καὶ μὴν ὁ κόσμος ὁ πυρωθεὶς γενήσεται μείζων, ἅτε συμπάσης τῆς οὐσίας εἰς τὸν λεπτότατον ἀναλυθείσης αἰθέρα· ὃ μοι δοκοῦσι καὶ οἱ Στωικοὶ προιδόμενοι κενὸν ἄπειρον ἐκτὸς τοῦ κόσμου τῷ λόγῳ καταλιπεῖν, ἵν' ἐπειδὴ χύσιν ἀπέραντόν τινα ἔμελλε λήψεσθαι, μὴ ἀπορῇ τοῦ δεξομένου χωρίου τὴν ἀνάχυσιν. ὅτε μὲν οὖν εἰς τοσοῦτον ἐπιδέδωκε καὶ συνηύξηται ὡς μονονουχὶ τῇ ἀορίστῳ τοῦ κενοῦ φύσει τῷ τῆς ἐλάσεως ἀπειρομεγέθει συνδραμεῖν, σπέρματος ἔχει καὶ τοῦτο λόγον, ὅτε δὲ κατὰ τὴν παλιγγενεσίαν ἐκτελειοῦται μείων, τῆς συμπάσης οὐσίας, στελλομένου μὲν κατὰ τὴν σβέσιν τοῦ πυρὸς εἰς παχὺν ἀέρα, στελλομένου δ' ἀέρος εἰς ὕδωρ καὶ συνίζοντος,

1 ἐφιδρύεσθαι M: ἐφυδρίεσθαι L: ἐφιδρύσθαι V: oblitt. in P   αὐτῆς V: ἑαυτῆς LPM   2 ἐναργείας coni. Mangey: ἐνεργείας libri   3 ἔτι LP: ex ἔστι corr. V: ἔστι M   5. 6 περιμηκέστατα καὶ πιότατα V   7 μὲν τον] μὲν om. L   8 γενηθέντα L   10 ἐφέξει P: ὑφέξει LVM   13 συναναιρεθήσεται L   14 ἀναλύεται libri: ἀναδίδοται Diels: διαλύεταί Bernays   τε om. M   15 πίστεων M: πίστεως ut vid. P: πιστέον L: πειστέον V   οὕτως] οὗ L   18 προιδόμενοι L: προειδόμενοι VPM   20 ἀπορῇ VP: ἀπορρῇ M: ἀπορεῖν L: unde ἀποροῖεν coni. Buecheler   21 ὅτε M: ὅτι LVP   21. 22 post μονονουχί add. καὶ VPM   22 ἐλάσεως] ἔλα . . . (lacuna) L   ἀπειρομεγέθει libri: ἀπείρῳ μέγεθει Turneb.   23 ἔχει καὶ τοῦτο L: ἔχει καὶ τοὺς M: oblitt. in P: τοὺς (cet. om.) V: ἔχει κατ' αὐτοὺς Turneb.   ὅτε δὲ L: ὅτε δὴ PM: ὅτι δὲ V   παλιγγενεσίαν LV: ἐπαγγελίαν ἐσίαν P: ἐπαγγελίαν αἰσίαν M   24 ἐκτελειοῦται μείων scripsi: ἐκτελείων τῶν μέρων LPM: ἐκτελεῖ μέρων V: ἐκτελῆ τῶν μερῶν Mangey   τῆς συμπάσης οὐσίας scil. ἔχει λόγον. Bernays lacunam, statuit post οὐσίας   25 δὲ ἀέρος L

6 μικρῷ πρότερον. Scilicet 23,3. 18,16.

παχυνομένου δ' ἔτι μᾶλλον ὕδατος κατὰ τὴν εἰς γῆν, τὸ πυκνότατον τῶν στοιχείων, μεταβολήν. ἔστι δὴ ταῦτα παρὰ τὰς κοινὰς ἐννοίας τῶν δυναμένων ἀκολουθίαν πραγμάτων ἐκλογίζεσθαι. |

20. Δίχα τοίνυν τῶν εἰρημένων κἀκείνῳ χρήσαιτ' ἄν τις εἰς πίστιν, 259 B.
ὃ καὶ τοὺς μὴ πέρα τοῦ μετρίου φιλονικεῖν αἱρουμένους ἐπισπάσεται. τῶν ἐν ταῖς συζυγίαις ἐναντίων ἀμήχανον τὸ μὲν εἶναι, τὸ δὲ μή· λευκοῦ γὰρ ὄντος ἀνάγκη καὶ μέλαν ὑπάρχειν, καὶ μεγάλου βραχὺ καὶ περιττοῦ ἄρτιον καὶ γλυκέος πικρὸν καὶ ἡμέρας νύκτα καὶ ὅσα τούτοις ὁμοιότροπα. γενομένης δ' ἐκπυρώσεως ἀδύνατόν τι συμβήσεται· τὸ μὲν γὰρ ἕτερον ὑπάρξει τῶν ἐν ταῖς συζυγίαις, τὸ δ' ἕτερον οὐκ ἔσται. φέρε δ' οὑτωσὶ θεασώμεθα· πάντων εἰς πῦρ ἀναλυθέντων κοῦφον μέν ἐστί τι καὶ μανὸν καὶ θερμόν· ἴδια γάρ πυρὸς ταῦτα· βαρὺ δ' οὐδὲν ἢ πυκνὸν ἢ ψυχρόν, τὰ τοῖς λεχθεῖσιν ἐναντία. πῶς οὖν ἄν τις ἐπιδεῖξαι μᾶλλον τὴν πεπλεγμένην ἐκ τῆς ἐκπυρώσεως ἀκοσμίαν ἢ τὰ φύσει συνυπάρχοντα δεικνὺς ἀπαρτώμενα τῆς συζυγίας; ἡ δ' ἀλλοτρίωσις ἐπὶ τοσοῦτον κεχώρηκεν ὡς τοῖς μὲν αἰδιότητα προσο|μολογεῖν τοῖς δὲ τὸ ἀνύπαρκτον. 508 M.

Ἔτι τοίνυν κἀκεῖνό μοι δοκεῖ μὴ ἀπὸ σκοποῦ τοῖς ἰχνηλατοῦσι τἀληθὲς εἰρῆσθαι· φθειρόμενος ὁ κόσμος ἤτοι ὑπό τινος ἑτέρας φθαρήσεται αἰτίας ἢ ὑπὸ θεοῦ. ὑπ' ἄλλου μὲν οὐδενὸς τὸ παράπαν δέξεται διάλυσιν· οὐδὲν γάρ ἐστιν ὃ μὴ περιέχει· | τὸ δὲ περιεχόμενον καὶ καταχρατούμενον ἀσθενέστερον δήπου τοῦ περιέχοντος ὑφ' οὗ [καὶ] καταχρατεῖται. ὑπὸ δὲ θεοῦ φθείρεσθαι λέγειν αὐτὸν πάντων ἀνοσιώτατον· ὁ γὰρ θεὸς οὐκ ἀταξίας καὶ ἀκοσμίας καὶ φθορᾶς, ἀλλὰ τάξεως καὶ εὐκοσμίας καὶ ζωῆς καὶ παντὸς αἴτιος ἀνωμολόγηται τοῦ ἀρίστου παρὰ τοῖς τἀληθῆ δοξάζουσι. 260 B.

21. Θαυμάσαι δ' ἄν τις τοὺς τὰς ἐκπυρώσεις καὶ παλιγγενεσίας θρυλοῦντας οὐ μόνον ἕνεκα τῶν εἰρημένων, οἷς ἀπελέγχονται ψευδοδοξοῦντες ἀλλὰ καὶ δι' ἐκεῖνο μάλιστα. τεττάρων γὰρ ὄντων στοιχείων, ἐξ ὧν ὁ κόσμος συνέστηκεν, γῆς, ὕδατος, ἀέρος, πυρός, τίνος ἕνεκα πάντων ἀποκλη-

2 ἔστι δὴ scripsi: ἔστι δὲ libri 2. 3 δυνάμεων L 3 πραγμάτων Diels coll. 34, 7: πράγματος libri ἐκλογίσασθαι P 4 χρήσαιτ' Lv: χρήσαιτο VPMar 5 καὶ τοῖς L μέτρου E φιλονικεῖν scripsi: φιλονεικεῖν libri 8 πικνὸν (sic) P 10 δ' ἕτερον E: δὲ ἕτερον LVPM φέρε δὲ L: φέρε γὰρ a 11 ἐστί τι LPM: ἔστι V: ἔσται E 12 ἴδια γὰρ E Mangey: ἴδια LVPM οὐδὲν om. P ἢ ψυχρὸν ἢ πυκνὸν PM πικνὸν (ν ex ρ corr.) L 13 ἐπιδεῖξαι Diels cf. ind.: ἐπιχῆται LVMP: ἐπισχῆται E: ἐπίσχοι vulg.: ἐπισημῆναι Wendland 13. 14 ἐκπυρώσεως scripsi: πυρώσεως libri 18 ἑτέρας om. E 19 ἄλλου δὲ E 20 καὶ καταχρατούμενον Diels cf. ind.: καὶ χρατούμενον libri 20. 21 ἀστενέστερον (sic) P 21 καὶ delevi 22 εὐταξίας M 23 καὶ φθορᾶς] καὶ om. V 24 τοῦ ἀρίστου om. E παρὰ VM: περὶ L: oblitt. in P τοῖς τὰ ἀληθῆ E: τἀληθῆ M: om. LV: ἀληθῆ praecedentibus oblitt. P 27 θρυλλοῦντας V 28 συνέστηκε M ἕνεκα] ἕνεκεν Turneb.

ρωσάμενοι τὸ πῦρ, τἄλλα φασὶν εἰς τοῦτο μόνον ἀναλυθήσεσθαι; δέον
γάρ, εἴποι τις ἄν, — πῶς οὔκ; — εἰς ἀέρα ἢ ὕδωρ ἢ γῆν· ὑπερβάλλουσαι 10
γὰρ καὶ ἐν τούτοις εἰσὶ δυνάμεις. ἀλλ' οὐδεὶς ἐξαεροῦσθαι ἢ ἐξυδατοῦσθαι
ἢ ἀπογεοῦσθαι τὸν κόσμον εἶπεν, ὥστ' εἰκὸς ἦν μηδ' ἐκπυροῦσθαι φάναι.

Χρὴ μέντοι καὶ τὴν ἐνυπάρχουσαν ἰσονομίαν τῷ κόσμῳ κατανοήσαντας
ἢ δεῖσαι ἢ αἰδεσθῆναι τοσούτου θεοῦ κατηγορεῖν θάνατον. ὑπερβάλλουσα γάρ
τις | τῶν τεττάρων ἀντέκτισις δυνάμεων, ἰσότητος κανόσι καὶ δικαιοσύνης 261 B.
ὅροις σταθμωμένων τὰς ἀμοιβάς. καθάπερ γὰρ αἱ ἐτήσιοι ὧραι κύκλον
ἀμείβουσιν ἀλλήλας ἀντιπαραδεχόμεναι πρὸς τὰς ἐνιαυτῶν οὐδέποτε ληγόν-
των περιόδους ἀεί, τὸν αὐτὸν τρόπον περιθέει καὶ τὰ στοιχεῖα τοῦ κόσμου
ταῖς εἰς ἄλληλα μεταβολαῖς, ⟨καί⟩, τὸ παραδοξότατον, θνήσκειν δοκοῦντα 5
ἀθανατίζεται δολιχεύοντα ἀεὶ καὶ τὴν αὐτὴν ὁδὸν ἄνω καὶ κάτω συνεχῶς
ἀμείβοντα. ἡ μὲν οὖν προσάντης ὁδὸς ἀπὸ γῆς ἄρχεται· τηκομένη γὰρ
εἰς ὕδωρ μεταλαμβάνει τὴν μεταβολήν, τὸ δ' ὕδωρ ἐξατμιζόμενον εἰς ἀέρα,
ὁ δ' ἀὴρ λεπτυνόμενος εἰς πῦρ. ἡ δὲ κατάντης ἀπὸ κεφαλῆς, συνίζοντος
μὲν πυρὸς κατὰ τὴν σβέσιν εἰς ἀέρα, συνίζοντος δ' ὁπότε συνθλίβοιτο εἰς
ὕδωρ ἀέρος, ὕδατος δὲ τὴν πολλὴν ἀνάχυσιν κατὰ τὴν εἰς γῆν πυκνου- 509 M.
μένου μεταβολήν. εὖ καὶ ὁ Ἡράκλειτος ἐν οἷς φησι 'ψυχῇσι θάνατος 11
ὕδωρ γενέσθαι, ὕδατι θάνατος γῆν γενέσθαι'. ψυχὴν γὰρ οἰόμενος εἶναι
τὸ πνεῦμα τὴν μὲν ἀέρος τελευτὴν γένεσιν ὕδατος, | τὴν δ' ὕδατος γῆς 262 B.

1 τὰ ἄλλα VPM ἀναλυθήσεσθαι PM: ex ἀναλυσήσεσθαι corr. L[1]: ἀναληθήσεσθαι V 1. 2 an δεόντως εἴποι (cf. ind.)? 2 εἴποι τις ἄν LV: εἰπόντες ἄν PM 4 μηδ' V: μὴν δὲ L 6 ἢ δεῖσαι P: ἢ δῆσαι M: εἰδῆσαι L: om. V θεοῦ coni. Mangey: θείου libri post θάνατον verba ὑπερβάλλουσαι γὰρ ... εἶπεν iterav. V in marg. σφάλμα V[2] 8 αἱ ἐτήσιοι LPM: καὶ ἐτήσιοι V 9 ἀλλήλας Mangey: ἀλλήλαις libri ἀντιπαραδεχόμεναι Mangey: ἀντιπαραδέχεσθαι libri πρὸς τὰς VPM: πρὸς τοὺς L 10 ἀεὶ Diels (hic collocatum ut hiatus vitaretur): εἰς libri περιθέει scripsi. cf. ind.: τίθησι libri: περιθέουσι Diels: τιθεῖσαι (cet. serv.) Buecheler, qui verbo καὶ apodosin incipere censuerunt, sed constructio καθάπερ .... τὸν αὐτὸν τρόπον .. καὶ sexcenties apud Ph. invenitur ut e. g. 39,19 seq. cf. ind.: φησί, Bernays 11 καὶ addidi 12 ἀθανατίζεται libri: ἀπαθανατίζεται Turneb. 13 ἀμοίβοντα L προσάντις M 16 δὲ ὁπότε V συνθλίβοιτο V: συνθλίβοιτο PM: θλίβοιτο L 17 τὴν πολλὴν ἀνάχυσιν libri, recte cf. 31,21: τῇ πολλῇ ἀναχύσει (cum hiatu) Bernays: κατὰ τὴν πολλὴν ἀνάχυσιν (deleto μεταβολήν) Buecheler, sed cf. 32,2 17. 18 πυκνουμένου Turneb.: πυκνουμένην LPM: πηγνυμένου V 18 ψυχῇσι VM: ψυχῆς L: oblitt. in P θάνατος (bis) libri: θάνατον Mangey 19 ὕδατι PM: ὕδατος L: ὕδατι ... γενέσθαι om. V (οἰομεν)ος in ras. L[1] 20 τὴν δ' M: τὴν δὲ LP: τὴν δι' V

8 Ocell. Luc. I § 12 verba haec corrupta praebet: τὰ μὲν γὰρ πρῶτα κινούμενα κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως κύκλον ἀμείβοντα διέξοδον οὐκ ἐπιδεχόμενα τῆς οὐσίας· τὰ δὲ δεύτερα πῦρ καὶ ὕδωρ καὶ γῆ καὶ ἀήρ. ὅρον ἀμείβουσι ἐφεξῆς καὶ συνεχῶς οὐ μὴν τὸν κατὰ τόπον ἀλλὰ τὸν κατὰ μεταβολήν 18 Heraclit. fr. 68 Bywater.

πάλιν γένεσιν αἰνίττεται, θάνατον οὐ τὴν εἰς ἅπαν ἀναίρεσιν ὀνομάζων, ἀλλὰ τὴν εἰς ἕτερον στοιχεῖον μεταβολήν. ἀπαραβάτου δὴ καὶ συνεχοῦς τῆς αὐτοκρατοῦς ἰσονομίας ταύτης ἀεὶ φυλαττομένης, ὥσπερ οὐκ εἰκὸς μόνον ἀλλὰ καὶ ἀναγκαῖον, ἐπεὶ τὸ μὲν ἄνισον ἄδικον, τὸ δ' ἄδικον κακίας ἔγγονον, κακία δ' ἐξ οἴκου τῆς ἀθανασίας πεφυγάδευται, θεῖον δέ τι μέγεθος ὁ κόσμος καὶ οἶκος θεῶν αἰσθητῶν ἀποδέδεικται, τὸ δὴ φάσκειν ὅτι φθείρεται μὴ συνορώντων ἐστὶ φύσεως εἱρμὸν καὶ πραγμάτων συνηρτημένην ἀκολουθίαν.

22. Προσφιλοτεχνοῦντες δέ τινες τῶν ἀίδιον ὑπολαμβανόντων τὸν κόσμον εἶναι καὶ τοιούτῳ πρὸς κατασκευὴν λόγῳ χρῶνται· φθορᾶς τέτταρας εἶναι τρόπους τοὺς ἀνωτάτω συμβέβηκεν, πρόσθεσιν ἀφαίρεσιν μετάθεσιν ἀλλοίωσιν. δυὰς μὲν οὖν προσθέσει μονάδος εἰς τριάδα φθείρεται μηκέτι μένουσα δυάς, τετρὰς δ' ἀφαιρέσει μονάδος εἰς τριάδα, μεταθέσει δὲ τὸ Ι στοιχεῖον εἰς Η ὅταν αἱ μὲν ἐγκάρσιοι παράλληλοι πρὸς ὀρθὰς διαναστῶσιν, ἡ δὲ πρὸς ὀρθὰς ἐπεζευγμένη πλαγιασθεῖσα συνάψῃ τὰς παρ' ἑκάτερα, κατ' ἀλλοίωσιν δὲ μεταβάλλων οἶνος εἰς ὄξος. τῶν δὲ | κατειλεγμένων τρό- 263 B. πων οὐδεὶς ἐφάπτεται τοῦ κόσμου τὸ παράπαν. ἐπεὶ καὶ τί φῶμεν; προστίθεσθαί τι τῷ κόσμῳ πρὸς ἀναίρεσιν; ἀλλ' οὐδέν ἐστιν ἐκτὸς ὃ μὴ μέρος γέγονεν αὐτοῦ· ὅλον περιέχεται γὰρ καὶ κατακρατεῖται. ἀλλ' ἀφαιρεῖσθαι; πρῶτον μὲν τὸ ἀφαιρεθὲν πάλιν κόσμος ἔσται, τοῦ νῦν βραχύτερος· ἔπειτα ἀμήχανον ἔξω τι σῶμα τοῦ ὅλου διαρτηθὲν τῆς συμφυίας

1 πάλιν γένεσιν LPM: παλιγγενεσίαν V αἰνίττε(ται) e corr. L verba εἰς ἅπαν ... ἀλλὰ καὶ iteravit M, qui primum tamen habet εἰς ἅπασαν, deinde recte εἰς ἅπαν 2 ἀπαραβάτου Mangey: ἀπαραβλήτου VP: ἀπαραβλήτους M: ἀπεριβλήτου L 4 τὸ δὲ PM 5 τι μέγεθος libri: τι τέμενος Bernays (ut ad 23,14 περίβολον alludat Philo): τι μέγαρον Buecheler: fortasse sufficiat θεῖος δὲ τὸ μέγεθος 6 θεῶν Mangey: θεοῦ libri cf. ind. s. v. δὴ Bernays: δὲ libri 6. 7 φθείρεται] φθείρ .. cum lac. L 11 τόπους L συμβέβηκεν L: συμβέβηκε VPME πρόθεσιν V 12 ἀλλοίωσιν LVP: ἀλοίωσιν M: καὶ ἀλλοίωσιν E προθέσει V 13 τὸ ζ̄ PME: τὸ ζῆτα V: τοῦ ζῆτα L 14 εἰς η PME: εἰς ἦτα L (V?) ὅταν] ὅτ' ἂν corr. ex ὅταν L αἱ om. M παράλληλοι PM: παραλλήλαις L: παραλλήλους V 15 ἑκάτερα VME: ἑκάτερον L: oblitt. in P 16 μεταβάλλον V 16. 17 προστίθεσθαι Turneb.: προστίθεται LVPM: προστιθέναι E 19 αὐτοῦ· ὅλον distinxi: αὐτοῦ ὅλον v et Bernays: αὐτοῦ ὅλου LVPMar (cum hiatu): videtur locus peius corruptus, fort. scrib. ὅλῳ γὰρ περιέχεται καὶ ... κρατεῖται PM 20 κόσμος πάλιν E

5 De op. mundi 60 (65,16 C.) τῶν ὅρων οὐρανοῦ κακία πεφυγάδευται. Leg. all. I 18 (I 56 M.) Ἡ δὲ κακία πεφυγάδευται θείου χοροῦ cf. Congr. erud. gr. 10 (I 527 M.) et ind. s. v. φυγαδεύω 6 cf. ad 23,14 7 De opif. m. 45 (48,19 C.) Τῆς δ' ἀκολουθίας ἐχόμενος καὶ τὸν εἱρμὸν τῶν ἑπομένων πρὸς τὰ ἡγούμενα διατηρῶν λέγει ... cf. ind. s. v. εἱρμός.

σκεδασθῆναι. ἀλλὰ τὰ μέρη μετατίθεσθαι; μενεῖ μὲν οὖν ἐν ὁμοίῳ τοὺς τόπους οὐκ ἐναλλάττοντα· οὐ γὰρ ἐποχήσεταί ποτε οὔτε ὕδατι πᾶσα γῆ οὔθ' ὕδωρ ἀέρι οὔτε ἀὴρ πυρί, ἀλλὰ τὰ μὲν φύσει βαρέα, γῆ καὶ ὕδωρ, τὸν μέσον ἐφέξει τόπον, γῆς μὲν θεμελίου τρόπον ὑπερειδούσης, ὕδατος δ' ἐπιπολάζοντος, ἀὴρ δὲ καὶ πῦρ, τὰ φύσει κοῦφα, | τὸν ἄνω, πλὴν οὐχ 510 M. ὁμοίως. ἀὴρ γὰρ πυρὸς ὄχημα γέγονε, τὸ δ' ἐποχούμενον ἐξ ἀνάγκης ὑπερφέρεται. καὶ μὴν οὐδὲ κατ' ἀλλοίωσιν φθείρεσθαι νομιστέον· ἰσοκρατὴς γὰρ ἡ τῶν στοιχείων μεταβολή, τὸ δ' ἰσοκρατὲς ἀκλινοῦς βεβαιότητος καὶ ἀσαλεύτου μονῆς αἴτιον, ἅτε μὴ πλεονεκτοῦν μήτε πλεονεκτούμενον· ὥσθ' ἡ ἀντίδοσις καὶ ἡ ἀντέκτισις τῶν δυνάμεων ἀναλογίας ἐξισου- 264 B. μένη κανόσιν ὑγιείας καὶ ἀτελευτήτου σωτηρίας δημιουργός. ἐξ ὧν ἀΐδιος ὁ κόσμος ἀποδείκνυται.

23. Θεόφραστος μέντοι φησὶ τοὺς γένεσιν καὶ φθορὰν τοῦ κόσμου κατηγοροῦντας ὑπὸ τεττάρων ἀπατηθῆναι τῶν μεγίστων, γῆς ἀνωμαλίας, θαλάττης ἀναχωρήσεως, ἑκάστου τῶν τοῦ ὅλου μερῶν διαλύσεως, χερσαίων φθορᾶς κατὰ ⟨πάντα⟩ γένη ζῴων· κατασκευάζειν δὲ τὸ μὲν πρῶτον οὕτως· εἰ μὴ γενέσεως ἀρχὴν ἔλαβεν ἡ γῆ, μέρος ὑπανεστὼς οὐδὲν ἂν ἔτι αὐτῆς ἑωρᾶτο, χθαμαλὰ δ' ἤδη τὰ ὄρη πάντα ἐγεγένητο καὶ οἱ γεώλοφοι πάντες ἰσόπεδοι τῇ πεδιάδι. τοσούτων γὰρ καθ' ἕκαστον ἐνιαυτὸν ὄμβρων ἐξ ἀιδίου φερομένων εἰκὸς ἦν τῶν διῃρμένων πρὸς ὕψος τὰ μὲν χειμάρροις ἀπερρῆχθαι, τὰ δ' ὑπονοστήσαντα κεχαλάσθαι, πάντα δὲ διὰ πάντων ἤδη λελειάνθαι. νυνὶ δὲ συνεχεῖς ἀνωμαλίαι καὶ παμπόλλων ὀρῶν αἱ πρὸς

1 μενεῖ Bernays: μένει libri 2 ἐναλάττοντα LPM ἐποχήσεται LVPM: ἐποχηθήσεται E ποτε οὔτε Buecheler: ποτε ἔτι libri πᾶσα γῆ] πᾶσα ἡ γῆ E 3 οὔτε ἀὴρ LPMV: καὶ οὗτος E ἐν γῇ PM 4 ἐφέξει LE: ἀφέξει PM: ὑφέξει V 5 ἐπιπολλάζοντος L τὸν ἄνω E et Turneb.: τὸ ἄνω LPMV 7 δ' οὐδὲ V κατὰ E ἀλοίωσιν M 8 ἰσοκρατὲς V 9 μὴ πλεονεκτοῦν om. E: πλεονεκτοῦν μήτε om. V 10 ἀντέκτησις LM δυναμένων E ἀναλογίας Turneb.: ἀναλογίαις (να in corr. L[1]) libri 11 ὑγείας PE 12 ἀποδείκνυται ME: ἐπιδείκνυται VP: ... δείκνυται (ἀπο in lac. om.) L 14 τῶν] cave αἰτιῶν coni. cf. 21,3 et ind. s. v. μέγας γῆς VE: τῆς LPM 15 ἑκάστων a 16 πάντα addidi cf. 14,18 κατασκευάζειν Usener: κατασκεύαζει libri 17 ὑπανεστὼς E cf. 44,2: ὑπανεστὸς VPM: ὑπανεστῇ L unde ὑπανεστηκὸς Bernays αὐτῆς L: αὐτὴ VM: oblitt. in P πάντα libri (E quoque quamvis Aldus πάντων habeat) πάντα τὰ ὄρη P 19 τοσοῦτον V ἐνιαυτῶν L 20 διῃρημένων L πρὸς LPM: εἰς VE 22 παμπόλων V

1 seq. De Plant. Noe c. 1 (I 330 M.) (θεὸς) γῆν μὲν καὶ ὕδωρ ἐπὶ τὸ μέσον ἐρρίζου, τὰ δὲ ἀέρος καὶ πυρὸς δένδρα πρὸς τὴν μετάρσιον ἀνεῖλκεν ἀπὸ τοῦ μέσου χώραν ... ὀχεῖσθαι μὲν γῆν ὕδατι ξηρὰν οὖσαν, ἣν δέον ἦν ὕδατι διαλύεσθαι, πυρὶ δ' ἀέρα θερμῷ φύσει τὸν ἐξ ἑαυτοῦ ψυχρότατον θαῦμα ἔκτοπον 13 sqq. cf. Bernays *Theophr. über die Frömmigkeit* p. 105. Diels *Doxographi* p. 106. Zeller *Hermes* XI 422. XV 137

αἰθέριον ὕψος ὑπερβολαὶ μηνύματ' ἐστὶ τοῦ τὴν γῆν μὴ ἀίδιον εἶναι. πάλαι γάρ, ὡς ἔφην, ἐν ἀπείρῳ χρόνῳ ταῖς ἐπομβρίαις ἀπὸ περάτων ἐπὶ πέρατα πᾶσ' ἂν λεωφόρος ἐγεγένητο· πέφυκε γὰρ ἡ ὕδατος φύσις καὶ 265 B. μάλιστα ἀπὸ ὑψηλοτάτων καταράττουσα τὰ μὲν ἐξωθεῖν τῇ βίᾳ τὰ δὲ τῷ συνεχεῖ τῶν ψεκάδων κολάπτουσα κοιλαίνειν, ὑπεργάζεσθαί τε τὴν σκληρόγεων καὶ λιθωδεστάτην ὀρυκτήρων οὐκ ἔλαττον.

Καὶ μὴν ἥ γε θάλαττα, φασίν, ἤδη μεμείωται· μάρτυρες δ' αἱ νήσων εὐδοκιμώταται, Ῥόδος τε καὶ Δῆλος. αὗται γὰρ τὸ μὲν παλαιὸν ἠφανισμέναι κατὰ τῆς θαλάττης ἐδεδύκεσαν ἐπικλυζόμεναι, χρόνῳ δ' ὕστερον ἐλαττουμένης ἠρέμα κατ' ὀλίγον ἀνίσχουσαι διεφάνησαν, ὡς αἱ περὶ αὐτῶν ἀναγραφεῖσαι μηνύουσιν ἱστορίαι. τὴν δὲ Δῆλον καὶ Ἀνάφην ὠνόμασαν, δι' ἀμφοτέρων ὀνομάτων πιστούμενοι τὸ λεγόμενον, ἐπειδὴ γὰρ ἀναφανεῖσα δῆλος ἐγένετο, ἀδηλουμένη καὶ ἀφανὴς οὖσα τὸ πάλαι. πρὸς δὲ τούτοις μεγάλων ¦ πελαγῶν μεγάλους κόλπους καὶ βαθεῖς ἀναξηρανθέντας ἠπειρῶ- 510 M. σθαι καὶ γεγενῆσθαι τῆς παρακειμένης χώρας μοῖραν οὐ λυπρὰν σπειρομένους καὶ φυτευομένους, οἷς σημεῖ' ἄττα τῆς παλαιᾶς ἐναπολελεῖφθαι θαλαττώσεως ψηφῖδάς τε καὶ κόγχας καὶ ὅσα ὁμοιότροπα πρὸς αἰγιαλοὺς εἴωθεν ἀποβράττεσθαι. διὸ καὶ Πίνδαρος ἐπὶ τῆς Δήλου φησί·

Χαῖρ' ὦ θεοδμάτα, λιπαροπλοκάμου
παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος, 266 B.
Πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας, ἅν τε βροτοὶ
Δᾶλον κικλήσκουσιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τηλέφαντον κυανέας χθονὸς ἄστρον.

---

1 αἰθέριον om. E 3 πᾶσ' ἂν Buecheler: πᾶσα libri ἐγεγένητο VPME: ἐγένετο L 4 καταρράττουσα LP 4. 5 τῷ συνεχεῖ VPME: τῇ συνεχεῖ L: unde τῇ συνεχείᾳ coni. Buecheler 5 κολάπτουσα LPMv: καλύπτουσα V: κλάπτουσα r: βλάπτουσα a 6 λιθοδεστάτην Mav 7 θάλαττα scripsi cf. ind.: θάλασσα libri ἥ γε LVE: εἴ γε PM 7. 8 αἱ νήσων εὐδο in ras. L[1] 9 θαλάττης LE: θαλάσσης VPM 10 ἐλαττουμένου a διεφάνισαν L 11 Ἀνάφην Turneb.: ἀναγραφὴν VPM: ἀναγράφειν L 12 λ(εγ)όμενον e corr. V[2] γὰρ cf. Vahlen ad Poeticam[3] 131 13 δῆλος Diels conl. Eurip. Med. 1197: δήλη libri cf. Prol. XXII[1] 14 μεγάλων VPME: μεγάλην L: μεταλλαγῇ coni. Diels: ex λόγος, ὁμολογοῦσιν vel simili verbo quod ἠπειρῶσθαι regat depravatum credit Buecheler, sed infin. a φασίν v. 7 pendet, ut 39, 6 15 λυπερὰν Turneb. 16 σημεῖ 'ἄττα Bernays: σημεῖα τὰ libri 17 εἰώθασιν P 18 verba διὸ καὶ Πίνδαρος ... αἰνιττόμενος ante v. 13 (πρὸς δὲ τούτοις) ponenda esse putavit Buecheler. Epitomator certe haec simul cum verbis τὴν δὲ Δῆλον ... τὸ πάλαι omisit 19 χαῖρ' ὦ LM: χαίρω V: oblitt. in P θεοδμάτα Turneb.: θεοδμήτα L: θεότμητε V: θεοτίμητε PM 20 παίδεσσι Boeckh: παῖδες οἱ VM: παῖδε οἱ ut vid. P: παιδ' οἱ L: παιδός Turneb. 21 ἄκμητον V 22 Δᾶλον LVP: δ' ἄλλον M κικλήσκοισιν Bergk μάκαρες VPM: μάκαρ L τηλέφαντον libri κυανέας Turneb.: κυαναίας VM: κυανοίας L: oblitt. in P

---

18 Pind. Frag. 87 Bergk.

θυγατέρα γὰρ Πόντου τὴν Δῆλον εἴρηκε τὸ λεχθὲν αἰνιττόμενος. εἰ δὴ μειοῦται ἡ θάλαττα, μειωθήσεται μὲν ἡ γῆ, μακραῖς δ' ἐνιαυτῶν περιόδοις [καὶ] εἰς ἅπαν ἑκάτερον στοιχεῖον ἀναλωθήσεται, δαπανηθήσεται δὲ καὶ ὁ σύμπας ἀὴρ ἐκ τοῦ κατ' ὀλίγον ἐλαττούμενος, ἀποκριθήσεται δὲ τὰ πάντα εἰς μίαν οὐσίαν τὴν πυρός.

24. Πρὸς δὲ τὴν τοῦ τρίτου κεφαλαίου κατασκευὴν χρῶνται λόγῳ τοιῷδε· "φθείρεται πάντως ἐκεῖνο οὗ πάντα τὰ μέρη φθαρτά ἐστι, τοῦ δὲ κόσμου πάντα τὰ μέρη φθαρτά ἐστι, φθαρτὸς ἄρα ὁ κόσμος ἐστίν." ὃ δ' ὑπερεθέμεθα νῦν ἐπισκεπτέον. ποῖον μέρος τῆς γῆς, ἵνα ἀπὸ ταύτης ἀρξώμεθα, μεῖζον ἢ ἔλαττον, οὐ χρόνῳ διαλύεται; λίθων οἱ κραταιότατοι ἄρ' οὐ μυδῶσι καὶ σήπονται; κατὰ τὴν ἕξεως ἀσθένειαν — ἡ δ' ἔστι πνευματικὸς τόνος, δεσμὸς οὐκ ἄρρηκτος ἀλλὰ μόνον δυσδιάλυτος — θρυπτόμενοι καὶ ῥέοντες εἰς λεπτὴν τὸ πρῶτον ἀναλύονται κόνιν, εἶθ' ὕστερον 267 B. δαπανηθέντες ἐξαναλοῦνται. τί δ', εἰ μὴ πρὸς ἀνέμων ῥιπίζοιτο τὸ ὕδωρ, ἀκίνητον ἐαθὲν οὐχ ὑφ' ἡσυχίας νεκροῖτ' ἄν; μεταβάλλει γοῦν καὶ δυσωδέστατον γίνεται, οἷα ψυχὴν ἀφῃρημένον ζῷον. αἵ γε μὴν ἀέρος φθοραὶ παντί τῳ δῆλαι· νοσεῖν γὰρ καὶ φθίνειν καὶ τρόπον τινὰ ἀποθνήσκειν

2 εἰ δὴ L: εἰ δὲ VPME μὲν ἡ LVE: καὶ ἡ PM 3 περιοδικοῖς ut vid. P καὶ delevi ἀναλωθήσεται LPM: ἀναλυθήσεται VE ἀπανθήσεται P δὲ καὶ PM: καὶ (om. δὲ) LVE 4 πάντα (om. τὰ) L 5 τὴν libri: τοῦ Bernays, errore ut vid.: τὴν τοῦ Usener sed cf. Prolegomena 6 πρὸς δὲ] δὲ om. M κεφαλαίου κατασκευὴν L: κατασκευὴν κεφαλαίου E: κατασκευὴν τοῦ κεφαλαίου VPM χρῶνται VE cf. 36,7: χρήσεται PM: χρᾶται L: χρῆται Bernays 7 τὰ μέρη E, Bernays: μέρη LVPM 8 post ἄρα add. καὶ ar ἐστὶν om. E 8. 9 ὁ δ' ὑπερθέμεθα νῦν ἐπισκεπτέον om. v 9 ταὐτοῦ ar 10 μεῖζον LVE: μεῖον δὲ PM διαλύεται Turneb.: διαλύσεται LVPM: διαλυθήσεται E et Bernays λίθ(ων οἱ) e corr. V κράτιστοι L. hiatus post κραταιότατοι pausa excusatur 11 μυδῶσιν ὡς σήπ. PM 12 ἄρητος M 12. 13 θρυπτόμενος PM 13 εἶθ' ... ἐξαναλοῦνται om. L: excl. Buecheler, sed cf. ind. s. v. δαπανᾶν 14 ἐξαναλοῦνται Bernays, cf. 38,10, 11: ἐξαναλύονται libri τί δ' libri: ἔτι δε Turneb. ἀνέμω V ῥιπίζοντα M 15 οὐχ om. VM νεκροῖτ' ἂν scripsi: νεκροῦται libri post καὶ add. τὸ PM 17 δῆλαι Bernays: δῆλον libri: fort. δῆλοι, cf. 36,13 ἀποθνήσκων L

6 seqq. De provid. I 9 Si pars corruptioni obnoxia est, corruptioni obnoxium et totum sit oportet, sicut etiam partes mundi et partium partes. cf. ibid. c. 13 seq. c. 17 Quum enim, ut ostendi, partes mundi per destructionem corrumpi videam, cur non maiores quoque et vel ipsa elementa caelum inquam et terram destruenda fore concedam?
16 seq. De provid. I 18 (1 10) Agam de aere ... animadvertens ipsum nunc varias passiones experiri, et rursum in sanitatem redire: unde etiam medicorum iudicio per commutationes eius exoriri morbos statuitur, quoniam languescere per hunc dixere corpora in mundo existentia naturali eius participatione. Qui ergo obnoxius est morbo tempestati ac corruptioni, quidni ipsa quoque vita demum privetur?

πέφυκεν. ἐπεὶ τί ἄν τις μὴ στοχασάμενος ὀνομάτων εὐπρεπείας ἀλλὰ τἀληθοῦς εἴποι λοιμὸν εἶναι πλὴν ἀέρος θάνατον τὸ οἰκεῖον πάθος ἀναχέοντος ἐπὶ φθορᾷ πάντων ὅσα ψυχῆς μεμοίραται; τί χρὴ μακρηγορεῖν περὶ πυρός; ἀτροφῆσαν γὰρ αὐτίκα σβέννυται· χωλὸς ⟨Ἥφαιστος,⟩ ᾗ φασιν οἱ ποιηταί, γεγονὼς ἐξ αὐτοῦ Διὸς σκηριπτόμενος ὀρθοῦται κατὰ τὴν τῆς ἀναφθείσης 512 M. ὕλης νομήν, ἐξαναλωθείσης δ' ἀφανίζεται. τὸ παραπλήσιον μέντοι καὶ τοὺς κατὰ τὴν Ἰνδικὴν δράκοντάς φασι πάσχειν. ἀνέρποντας γὰρ ἐπὶ τὰ μέγιστα τῶν ζῴων, ἐλέφαντας, περὶ νῶτα καὶ νηδὺν ἅπασαν εἱλεῖσθαι, φλέβα δ' ἣν ἂν τύχῃ διελόντας ἐμπίνειν τοῦ αἵματος, ἀπλήστως ἐπισπωμένους βιαίῳ πνεύματι καὶ συντόνῳ ῥοίζῳ. μέχρι μὲν οὖν τινὸς ἐξαναλουμένους ἐκείνους ἀντέχειν ὑπ' ἀμηχανίας ἀνασκιρτῶντας καὶ τῇ προνομαίᾳ τὴν πλευρὰν τύπτοντας ὡς καθιξομένους τῶν | δρακόντων, εἶτα ἀεὶ κενου- 268 B. μένου τοῦ ζωτικοῦ πηδᾶν μὲν μηκέτι δύνασθαι, κραδαινομένους δ' ἑστάναι, μικρὸν δ' ὕστερον καὶ τῶν σκελῶν ἐξασθενησάντων κατασεισθέντας ὑπὸ λιφαιμίας ἀποψύχειν, πεσόντας δὲ τοὺς αἰτίους τοῦ θανάτου συναπολλύναι τρόπῳ τοιῷδε· μηκέτ' ἔχοντες τροφὴν οἱ δράκοντες ὃν περιέθεσαν δεσμὸν ἐπιχειροῦσιν ἐκλύειν ἀπαλλαγὴν ἤδη ποθοῦντες. ὑπὸ δὲ τοῦ βάρους τῶν ἐλεφάντων θλιβόμενοι πιέζονται, καὶ πολὺ μᾶλλον ἐπειδὰν τύχῃ στέριφον καὶ λιθῶδες τὸ ἔδαφος. ἰλυσπώμενοι γὰρ καὶ πάντα ποιοῦντες εἰς διάλυσιν, ὑπὸ τῆς τοῦ πιέσαντος βίας πεδηθέντες, ἑαυτοὺς πολυτρόπως ἐν ἀμηχάνοις καὶ ἀπόροις γυμνάσαντες ἐξασθενοῦσι, καὶ καθάπερ οἱ καταλευσθέντες ἢ

---

1 στοχασάμενος L: στοχαζόμενος VPME εὐπρεπίας v: εὐπρεπείαις r 1. 2 τἀληθοῦς E· τοῦ ἀληθοῦς LVPM εἴποι LVE: εἴποιμι PM 3 ἀπάντων M μεμοίραται LVE: μεμοίρανται M: oblitt. in P 4 ἀτροφ(ῆ)σαν, ῆ in ras. V² χωλὸς Ἥφαιστος ᾗ scripsi: χωλὸν ᾗ libri οἱ om. V 5 γεγονὼς ἐξ αὐτοῦ Διὸς σκηριπτόμενος scripsi: γεγονὸς ἐξ ἑαυτοῦ· διὸ σκηριπτόμενον libri: ἐξ ἑαυτοῦ *per se ipsum („auf sich selbst angewiesen")* interpret. Bernays, sed καθ' ἑαυτὸν dixisset Philo cf. 28,3. 30,12. 44,15 κατὰ τὸν L 6 ὕλης ... ἐξαναλωθείσης om. V νομὴν Usener: μονὴν libri 8 τῶν om. Turneb. περὶ LV: περὶ δὲ PM εἱλεῖσθαι L: εἰλεῖσθαι VPM 10. 11 ἐξαναλουμένους LP: ἐξαναλουμένης M: ἐξαναλωμένους V 11 προνομαίᾳ LP: προνομαῖα M: προνομιαία V 12 καθιξομένους V: καθεξομένους L: καθιζομένους PM 12. 13 κενουμένου L: κινουμένου VPM 13 εὔταναι M 14 ὑπὸ λειφαιμίας LV: om. in lac. PM 15 ἀποψύχειν LPM: ἀποθνήσκειν V συναπολύναι PM 16 δεσμῶν P 18 πιέζονται V cf. v. 20 πίεσας et ind.: πιεζοῦνται LPM τύχοι P 19 τὸ ἔδαφος] τὸ om. P 20 ὑπὸ in ὑπὲρ corr. V² 21 γυμνάσαντες Turneb.: γυμνώσαντες libri

---

4 cf. Hom. I 590, De provid. II 37 (I 73 Anch.) et Heracliti alleg. homer. 26 p. 55 Mehler 9 seq. cf. Plin. hist. nat. XXXIII, 116; Mela III 7,25 ibique interpr. — Ne forte hanc fabellam Philoni abiudicare velis, cf. quae De ebriet. 42 (I 384 M.) de tarandis narrat.

τείχους αἰφνίδιον ἐπενεχθέντος προκαταληφθέντες, οὐδ' ὅσον ἀνακύψαι δυνά- 10
μενοι, πνιγῇ τελευτῶσιν. εἰ δὴ τῶν μερῶν ἕκαστον τοῦ κόσμου φθορὰν
ὑπομένει, δῆλον ὅτι καὶ ὁ ἐξ αὐτῶν παγεὶς κόσμος ἄφθαρτος οὐκ ἔσται.

Τὸν δὲ τέταρτον καὶ λοιπὸν λόγον ἀκριβωτέον ὧδέ φασιν· εἰ ὁ κόσμος
αἴδιος ἦν, ἦν ἂν καὶ τὰ ζῷα αἴδια καὶ πολύ γε μᾶλλον τὸ τῶν ἀνθρώπων
γένος, ὅσῳ | καὶ τῶν ἄλλων ἄμεινον. ἀλλὰ καὶ ὀψίγονον φανῆναι τοῖς βου- 269 B.
λομένοις ἐρευνᾶν τὰ φύσεως· εἰκὸς γάρ, μᾶλλον δ' ἀναγκαῖον ἀνθρώποις
συνυπάρξαι τὰς τέχνας ὡς ἂν ἰσήλικας, οὐ μόνον ὅτι λογικῇ φύσει τὸ
ἐμμέθοδον οἰκεῖον, ἀλλὰ καὶ ὅτι ζῆν ἄνευ τούτων οὐκ ἔστιν. ἴδωμεν οὖν
τοὺς ἑκάστων χρόνους ἀλογήσαντες τῶν ἐπιτραγῳδουμένων θεοῖς μύθων 5
⁂ ⁂ ⁂ εἰ μὴ αἴδιος ἄνθρωπος, οὐδ' ἄλλο τι ζῷον, ὥστ' οὐδ' αἱ δεδεγμέναι
ταῦτα χῶραι, γῆ καὶ ὕδωρ καὶ ἀήρ, ἐξ ὧν τὸ φθαρτὸν εἶναι κόσμον
δῆλόν ἐστιν.

25. Ἀναγκαῖον δὲ πρὸς τὴν τοσαύτην εὑρησιλογίαν ἀπαντῆσαι, μή
τις τῶν ἀπειροτέρων ἐνδοὺς ὑπαχθῇ· καὶ ἀρκτέον γε τῆς ἀντιρρήσεως ἀφ'
οὗ καὶ τῆς ἀπάτης οἱ σοφισταί. τὰς ἀνωμαλίας οὐκέτ' ἐχρῆν εἶναι τῆς 513 M.
γῆς, εἴπερ αἴδιος ἦν ὁ κόσμος; διὰ τί, ὦ γενναῖοι; φήσουσι γὰρ ἕτεροι 11
παρελθόντες, ὅτι δένδρων οὐδὲν αἱ φύσεις τῶν ὀρῶν διαφέρουσιν ἀλλὰ
καθάπερ ἐκεῖνα καιροῖς μέν τισι φυλλορροεῖ καιροῖς δὲ πάλιν ἀνηβᾷ —
διὸ καὶ τὸ ποιητικὸν εὖ εἴρηται

φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη
τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίγνεται ὥρη —

---

1 ἐπενεχθέντος LV: ὑπενεχθέντος PM 2 πνιγῇ VM et ut vid. P: τῇ γῇ L 3 ἐπιμένει VE δῆλον ὅτι L: δηλονότι VME (et P?) 4 ἀκριβωτέον ὧδέ φασιν· distinxit Diels, cf. 37,6: ἀκριβωτέον ὧδε· φασὶν Bernays: ἀκριβωτέον· ὧδέ φασιν Turneb. ἀκριβωτέον LM: ἀκριβώτερον V: ἀκριβέστερον E: oblitt. in P εἰ ὁ E: εἰ VM: ὁ L: oblitt. in P 5 τὸ τῶν E: τὸ VPM: τῶν L 6 φανῆναι libri: φανήσεται Usener: sed ex φασὶν v. 4 pendet infinit. ut 36,15. 38,8 sq. 7 τὰ φύσεως LVPM: τὰς φύσεις E: τὰ φύσεως φυσικῶς Bernays ἀνθρώπους ar 8 συνυπάρξας L 8. 9 τὸ ἐμμέθοδόν VPM: τε ἐμμέθοδον L: ἐμμέθοδον τὸ E 9 ἔστιν LE: ἔνεστιν VPM 10 ἀλογήσαντες PM: ἀμελήσαντες L: ἀναλογίσαντες VE 10 post μύθων] '*deesse quibus* εὑρημάτων *tempora explicata erant vidit Mangey*' Usener 11 εἰ μὴ LVE: μὴ (om. εἰ PM): εἰ δὲ μὴ coni. Zeller οὐδ' αἱ δεδεγμέναι E et δὲ postea add. M: οὐδ' αἱ δεγμέναι P: οὐδε δεγμέναι L: οὐδ' αἱ δεδειγμέναι V 12 τὸ φθαρτὸν PME: τὸν φθαρτὸν VL κόσμον LVPM: τὸν κόσμον E 14 δὲ οὖν πρὸς v εὑρησιλογίαν LVMr: εὑρεσιλογίαν Pva 15 ἐνδοὺς om. E 16 τὰς ἀνωμαλίας VPME: ἀνωμαλίας L 17 αἴδιος ἦν LVE: αἴδιον εἶναι PM γενναῖε E 19 τινι E φυλλοροεῖ V 21 χαμαδεσχέει M 22 ἔαρος LVP: ἀέρος M ἐπιγίγνεται V: ἐπιγίνεται LPM

---

4 seqq. cf. De provid. I c. 10—11 21 Homer. Z 147

τὸν αὐτὸν τρόπον | καὶ τῶν ὀρῶν τὰ μὲν ἀποθραύεται μέρη, τὰ δὲ 270 B. προσφύεται. μακροῖς δὲ χρόνοις ἡ πρόσφυσις καθίσταται γνώριμος, διότι τὰ μὲν δένδρα ὠκυτέρᾳ χρώμενα τῇ φύσει θᾶττον καταλαμβανομένην ἔχει τὴν ἐπίδοσιν, τὰ δ' ὄρη βραδυτέρᾳ, διὸ καὶ τὰς ἐκφύσεις αὐτῶν αἰσθητὰς ὅτι μὴ χρόνῳ μακρῷ μόλις εἶναι συμβέβηκεν. ἐοίκασί γε τὸν τρόπον τῆς γενέσεως αὐτῶν ἀγνοεῖν, ἐπεὶ κἂν ἴσως αἰδεσθέντες ἡσύχασαν. φθόνος δ' οὐδεὶς ἀναδιδάσκειν. ἔστι δ' οὔτε νέον τὸ λεγόμενον, οὔτε ῥήμαθ' ἡμῶν ἀλλὰ παλαιὰ σοφῶν ἀνδρῶν, οἷς οὐδὲν ἀδιερεύνητον τῶν εἰς ἐπιστήμην ἀναγκαίων ἀπολέλειπται. ὅταν τὸ κατακεκλεισμένον ἐν τῇ γῇ πυρῶδες ἄνω τῇ τοῦ πυρὸς ἐλαύνηται φυσικῇ δυνάμει, πρὸς τὸν οἰκεῖον τόπον στείχει, κἂν τινος λάβηται βραχείας ἀναπνοῆς, ἄνω μὲν συναναςπᾷ πολλὴν τῆς γεώδους οὐσίας, ὅσην ἂν οἷόν τ' ᾖ· ἔξω δ' ἐπιγενόμενον φέρεσθαι βραδύτερον· ἡ δὲ μέχρι πολλοῦ συμπαρελθεῖν βιασθεῖσα, πρὸς μήκιστον ἀρθεῖσα ὕψος στέλλεται κορυφουμένη καὶ πρὸς ὀξεῖαν ἀποτελευτᾷ κορυφὴν τὸ πυρὸς σχῆμα μιμουμένη. γίνεται γὰρ τοῦ κουφοτάτου καὶ βαρυτάτου τότε, τῶν φύσει ἀντιπάλων, ἀναγκαία συρραξάντων διαμάχη, πρὸς τὴν | οἰκείαν ἑκα- 271 B. τέρου χώραν ἐπειγομένου καὶ ⟨πρὸς⟩ τὸ βιαζόμενον ἀντιτείνοντος· τὸ μὲν δὴ πῦρ συνανέλκον ὑπὸ τοῦ περὶ αὐτὴν νευστικοῦ βρίθειν ἀναγκάζεται, ἡ δὲ γῆ κατωτάτω ταλαντεύουσα τῷ τοῦ πυρὸς ἀνωφοίτῳ συνεπελαφρισθεῖσα μετέωρος ἐξαίρεται καὶ κρατηθεῖσα μόλις ὑπὸ δυνατωτέρας ⟨βίας⟩ τῆς ἐπικουφιζούσης ἰσχύος ἄνω πρὸς τὴν τοῦ πυρὸς ἕδραν ὠθεῖται κἀνίσταται. τί οὖν θαυμαστὸν εἰ μὴ τὰ ὄρη ταῖς τῶν ὑετῶν φοραῖς ἐξανήλωται, τῆς

1 ἐπιθράβεται L 2 γνώριμος libri: γνωρίμη coni. Jessen 3 φύσει] προςφύσει coni. Mangey at cf. 39,18 καταλαμβανομένην LVPM: καταλαμβάνειν av: καταλαμβάνει r. 4 βραδυτέρᾳ Turneb. βραχύτερα libri (E quoque): βραδύτερα Bernays διὸ ex δὴ corr. V 5 μόγις L, cf. ind. γε τὸν] τε τὸν vr 6 ἐπεὶ κἂν] καὶ ἂν (om. ἐπεὶ) a: καὶ (om. ἐπεὶ) M 7 οὔτε libri: οὔτε τι Turneb. τὸ λεγόμενον E et Mangey: τῶν λεγομένων LPMV οὔτε PME: οὐ LV 7. 8 ῥήμαθ' ἡμῶν LVM: ῥήματα ἡμῶν P: ἡμέτερον ῥῆμα E 8 παλαιῶν E 10 ἐλαύνηται LE: ἐλαύνεται VPM στείχη M 11 ἄνω E, Bernays: ἄνωθεν LVPM πολλὴν libri: πολὺ Turneb. τῆς] τὴν a 12 ὅσην L: ὅσον VPME οἷον τ' V: οἷόν τε PME: εἰ οἷόν τε L, unde ἀεὶ οἷόν τε cum hiatu, Bernays ᾖ VPME: ἦν L ἐπιγινόμενον libri: ἐπιγενομένου (cet. serv.) Buecheler 12. 13 βραδύτερον Bernays, qui totum enuntiatum sic mutavit ἡ δ' ἔξωθεν ἐπιγενομένη φέρεται βραδύτερον: βραχυτέραν libri 13 ἡ δὲ (scil. ἡ γεώδης οὐσία) Diels: ἢ καὶ libri (E quoque): καὶ (om. ἡ) Bernays 14 στέλλεται LVPM: συστέλλεται E κορυφουμένη libri: ἀποκορυφουμένη Turneb.: *an delendum?* Diels τὸ πύρος] τὸ om. VE 16 συρρηξάντων Turneb. οἰκίαν P 17 πρὸς add. Turneb. τὸ βιαζομένου E ἀντιτείνοντος LVE: ἐπιτείνοντος PM 18 πυρῶν vr 19 τῷ τοῦ] τ τοῦ (sic) L ἀνωφοίτῳ LE: οὐνοφοίτῳ PM: ἄνω φοιτῶσα V συνεπελαφρισθεῖσα] ἐπιχαφρισθεῖσα V 20 μετέωρος ... κρατηθεῖσα om. V: μετέωρος tantum habet E βίας addidi cf. 12,3 et 13,3 ἰσχύος ῥώμην 21 κἀνίσταται Diels: καὶ ἵσταται libri 22 ταῖς τῶν] ταῖς om. L

συνεχούσης αὐτὰ δυνάμεως, ὑφ' ἧς καὶ διανίσταται, μάλα παγίως καὶ κραταιῶς ἐνειλημμένης; λυθέντος γὰρ δεσμοῦ τοῦ συνέχοντος, εἰκὸς ἦν διαλυθῆναι καὶ πρὸς ὕδατος σκεδασθῆναι, δυνάμει δὲ σφιγγόμενα τῇ τοῦ πυρὸς στεγανώτερον πρὸς τὰς τῶν ὑετῶν φορὰς ἀντέχει. | ταῦτα μὲν οὖν 514 M. ἡμῖν λελέχθω περὶ τοῦ τὴν ἀνωμαλίαν τῆς γῆς πίστιν οὐκ εἶναι γενέσεως καὶ φθορᾶς κόσμου.

26. Πρὸς δὲ τὸ ἀπὸ τῆς μειώσεως τῆς θαλάττης ἐπιχειρηθὲν ἐκεῖνο δεόντως ἂν λέγοιτο· μὴ τὰς ἀνασχούσας νήσους αὐτὸ μόνον ἀεὶ μηδ' εἴ τινες ἀποτομαὶ κατακλυζόμεναι τὸ πάλαι χρόνοις αὖθις ἠπειρώθησαν σκοπεῖτε· φυσιολογίας γὰρ ἀντίπαλον φιλονικία τριπόθητον ἡγουμένης ἀλήθειαν ἰχνηλατεῖν. ἀλλὰ πολυπραγμονεῖτε ¦ καὶ τοὐναντίον, ὅσαι μὲν ἐν 272 B. ἠπείροις οὐ παράλιοι μόνον ἀλλὰ καὶ μεσόγειοι μοῖραι κατεπόθησαν, ὅση δὲ χέρσος θαλαττωθεῖσα μυριοφόροις ναυσὶν ἐμπλεῖται. ⟨ἢ⟩ τὴν περὶ τὸν ἱερώτατον Σικελικὸν πορθμὸν ᾀδομένην ἱστορίαν ἀγνοεῖτε; τὸ ⟨μὲν⟩ παλαιὸν ⟨ἦν⟩ ἤπειρος Ἰταλίᾳ Σικελία συνάπτουσα, μεγάλων δὲ τῶν παρ' ἑκάτερα πελαγῶν βιαίοις πνεύμασιν ἐξ ἐναντίας ἐπιδραμόντων ἡ μεθόριος ἐπεκλύσθη καὶ ἀνερράγη, παρ' ἣν καὶ πόλις ἐπώνυμος τοῦ πάθους Ῥήγιον κτισθεῖσα ὠνομάσθη. καὶ τοὐναντίον οὗ προσεδόκησεν ἄν τις ἀπέβη· συνεζεύχθη μὲν γὰρ τὰ τέως διεστῶτα πελάγη κατὰ τὴν σύρρυσιν ἑνωθέντα, ἡ δ' ἡνωμένη γῆ τῷ μεθορίῳ πορθμῷ διεζεύχθη, παρ' ὃν ἤπειρος οὖσα Σικελία νῆσος

1 ἐχούσης P   διανίσταται ex δανίσταται corr. V   2 λυθέντος VE: λυθέντα LPM
3 ὕδατα E   4 στεγανώτερον E, Diels: στεγανώτερα LVPM   ἀντέχει LVPM: ἀντέχειν E   5 πιστὴν VPM   8 δὲ ὄντως M   ἀνισχούσας E   μόνον ἀεὶ Bernays: μόνον εἰ LVPM: μόνον ἀλλὰ καὶ εἰ E   9 κατακ(λυ)ζόμεναι in ras. V²
τὸ πάλαι LVPM: τοῖς πάλαι E   10 σκοπεῖτε L: σκοπεῖται VM: σκοπεῖν χρὴ E: oblitt. in P   φιλονικία scripsi: φιλονεικία VME: φιλονεικίας L: oblitt. in P
11 ἀλήθεια M   ἰχνηλατεῖν LM: ἰχνηλατήσειν VE   πολυπραγμονεῖτε coni. Mangey: πολυπραγμονεῖται VPME: πολυπραγμονεῖν ἔστι L   12 μοῖραι VME: μοῖρας L: oblitt. in P   ὅση] ὅτι E   13 θανατωθεῖσα (λα supersc.) V   ἢ add. Diels, cf. ind. s. v. ἀγνοεῖν   13. 14 ἡ .. ᾀδομένη ἱστορία ἀγνοεῖται παρ' οὐδενὸς τῶν ἐλλογίμων E
14 ἱερώτατον om. E: εὐρύτατον coni. Diels. Epitomator certe, qui religiose omisit, legit ἱερώτατον   ἀγνοεῖτε LP: ἀγνοεῖται VM   τὸ μὲν Diels conl. 36, 8: τὸ libri
15 ἦν ἤπειρος Buecheler cf. v. 20: ἠπείρῳ libri   Ἰταλίᾳ E: Ἰταλία LP: Ἰταλίας V: Ἰταλίαν M   Σικελία Buecheler: Σικελίαν libri: *positura hiatus* Σικελία Ἰταλίᾳ *vitatur* Diels   συνάπτουσα LM: συνάπτουσαν V: προσάπτουσα E: oblitt. in P   16 ἐπεκλύθη ar   17 ἐνερράγη M   παρῆν L   18 οὗ libri: ἢ Turneb.   ἐπέβη L
19 σύρρυσιν LV: σύρρησιν PM: σύρρευσιν E   ἡδ' E: ἡδὲ LVPM   20 διεζεύγχθη L

12 De opif. mundi 38 (43, 1 C.) θαλάττης ... ἀναχυθείσης πελάγη βαθύτατα οὐ βραχείαις ὁλκάσιν ἀλλὰ μυριοφόροις ναυσὶν ἐμπλεόμενα (γίνεται αἰγιαλός)

ἐβιάσθη γενέσθαι. πολλὰς δὲ καὶ ἄλλας λόγος τῆς θαλάττης ὑπερσχούσης ἠφανίσθαι πόλεις καταποθείσας, ἐπεὶ καὶ κατὰ Πελοπόννησόν φασι τρεῖς

Αἴγειραν Βοῦράν τε καὶ ὑψηλὴν Ἑλίκειαν,
τείχεσιν ᾗ τάχ' ἔμελλε περὶ βρύα μυρία φύσειν

εὐδαίμονας τὸ πάλαι γενομένας πολλῇ τοῦ πελάγους ἐπικλυσθῆναι φορᾷ. ἡ δὲ Ἀτλαντὶς νῆσος, 'ἅμα Λιβύης καὶ Ἀσίας μείζων', ᾗ φησιν 273 B. ἐν Τιμαίῳ Πλάτων, 'ἡμέρᾳ μιᾷ καὶ νυκτὶ σεισμῶν ἐξαισίων καὶ κατακλυσμῶν γενομένων δῦσα κατὰ τῆς θαλάττης ἐξαίφνης ἠφανίσθη', γενομένη πέλαγος, οὐ πλωτὸν ἀλλὰ βαραθρῶδες. οὐδὲν οὖν εἰς τὸ φθείρεσθαι τὸν κόσμον ἡ πλασθεῖσα τῷ λόγῳ μείωσις τῆς θαλάττης συνεργεῖ· φαίνεται γὰρ τῶν μὲν ἐξαναχωροῦσα, τὰ δ' ἐπικλύζουσα. ἐχρῆν δὲ μὴ θάτερον τῶν γινομένων ἀλλὰ συνάμφω θεωροῦντας ἐπικρίνειν, ἐπεὶ κἀν τοῖς περὶ βίον ἀμφισβητήμασιν ὁ νόμιμος δικαστὴς πρὶν [παρὰ] τῶν ἀντιδίκων ἀκοῦ- 515 M. σαι γνώμην οὐκ ἀποφανεῖται.

27. Καὶ μὴν ὁ τρίτος λόγος ἐξ ἑαυτοῦ διελέγχεται, μὴ ὑγιῶς ἐρωτηθεὶς ἀπὸ τῆς εὐθὺς ἐν ἀρχῇ φάσεως. οὐ γὰρ δήπουθεν οὗ πάντα τὰ μέρη φθείρεται, φθαρτόν ἐστιν ἐκεῖνο, ἀλλ' οὗ πάντα τὰ μέρη ἅμα καὶ ἐν ταὐτῷ ἀθρόα κατὰ τὸν αὐτὸν χρόνον, ἐπεὶ καὶ ἄκρον ἀποκοπείς τις δάκτυλον ζῆν οὐ κεκώλυται, εἰ δὲ τὴν κοινωνίαν τῶν μερῶν καὶ μελῶν πᾶσαν, αὐτίκα τελευτήσει. τὸν αὐτὸν οὖν τρόπον εἰ μὲν συλλήβδην ἀπαξάπαντα τὰ στοιχεῖα ὑφ' ἕνα καιρὸν ἠφανίζετο, φάσκειν ἐνδέχεσθαι τὸν κόσμον φθορὰν ἦν ἀναγκαῖον. εἰ δ' ἕκαστον ἰδίᾳ πρὸς τὴν τοῦ γείτονος

1 θαλάττης in ras. P ὑπερσχούσης LV: ὑπερεχούσης PME: ὑπερχεούσης Scaliger ad Euseb. n. 1637, at ὑπερχεομένης exspectaremus 2 πόλεις καταποθείσας LVE: πόλεις πόθησας P: πολ … πόθησας (cum lac.) M ἠφανίσθη V 3 τε ante βοῦραν add. a βούρραν L Ἑλίκειαν LV: Ἕλκειαν M: Ἑλικὴν E: Ἑλόνειαν P
4 ᾗ PM: ἡ LV ἔμελλεν L φύσειν L: φύσιν PM: φησὶν V 5 πολλῇ VPM: πολὺ M 6 ἡ δὲ] ἡ δὴ r Ἄντλα τις M Ἀσίης L 8 θαλάττης libri: θαλάσσης Turneb. 9 πλωτῶν PM 10 τῆς θαλάττης E: τῇ θαλάττῃ LVPM
12 τῶν μὲν Diels: ὧν μὲν libri 13 βίων ἀνφισαντήμασιν L πρὶν Buecheler: πρὶν περὶ L: πρὶν παρὰ VPME: videtur praepos. e dittog. orta: πρὶν καὶ Diels: πρὶν ἑκατέρου Usener 16 πάντα τὰ E: πάντα LVPM 17 ἐστι κἀκεῖνο v
17. 18 propter hiat. videtur scrib. καὶ ἅμα ἐν ταὐτῷ καὶ ἀθρόα … 19 οὐκ ἐκώλυται L 21 καιρῶν E ἐνδέχεσθαι] δέχεσθαι Usener at cf. ind.
22 γείτονος] γειτονοῦντος P

3 Versus ignoti poetae. cf. Meinekei Analecta Alexand. p. 46. 9 Plat. Tim. 25 C, … ὑστέρῳ δὲ χρόνῳ σεισμῶν ἐξαισίων καὶ κατακλυσμῶν γενομένων, μιᾶς ἡμέρας καὶ νυκτὸς χαλεπῆς ἐπελθούσης, τό τε παρ' ὑμῖν μάχιμον πᾶν ἀθρόον ἔδυ κατὰ γῆς ἥ τε Ἀτλαντὶς νῆσος ὡσαύτως κατὰ τῆς θαλάττης δῦσα ἠφανίσθη· διὸ καὶ νῦν ἄπορον καὶ ἀδιερεύνητον γέγονε τὸ ἐκεῖ πέλαγος, πηλοῦ κάρτα βραχέος ἐμποδὼν ὄντος ὃν ἡ νῆσος ἱζομένη παρέσχετο.

μεταβάλλει φύσιν, ἀθανατίζεται μᾶλλον ἢ φθείρεται κατὰ τὸ φιλοσοφηθὲν ὑπὸ | τοῦ τραγικοῦ 274 B.

θνήσκει δ' οὐδὲν τῶν γιγνομένων,
διακρινόμενον δ' ἄλλο πρὸς ἄλλου
μορφὴν ἑτέραν ἀπέδειξεν.

Παντελής γε μὴν εὐήθεια τὸ γένος τῶν ἀνθρώπων ἀπὸ τῶν τεχνῶν ἐξετάζεσθαι· τῇ γάρ περὶ τὸν λόγον ἀτοπίᾳ τις ἀκολουθήσας νέον τὸν κόσμον ἀποφανεῖ κομιδῇ, μόλις πρὸ χιλίων παγέντα ἐνιαυτῶν, ἐπεὶ καὶ οὓς παρειλήφαμεν τῶν ἐπιστημῶν εὑρετὰς τὸν λεχθέντα τῶν ἐνιαυτῶν ἀριθμὸν οὐχ ὑπερβάλλουσιν. εἰ δὲ δὴ καὶ λεκτέον τὰς τέχνας ἰσήλικας ἀνθρώπων γένει, μεθ' ἱστορίας φυσικῆς, ἀλλ' οὐκ ἀπερισκέπτως καὶ ῥᾳθύμως λεκτέον. ἡ δ' ἱστορία τίς; φθοραὶ τῶν κατὰ γῆν οὐχ ἀθρόων ἁπάντων ἀλλὰ τῶν πλείστων δυσὶ ταῖς μεγίσταις αἰτίαις ἀνατίθενται, πυρὸς καὶ ὕδατος ἀλέκτοις φοραῖς. κατασκήπτειν δ' ἑκατέραν ἐν μέρει φασὶν ἐν πάνυ μακραῖς ἐνιαυτῶν περιόδοις· ὅταν μὲν οὖν ἔμπρησις καταλαμβάνῃ, ῥεῦμα αἰθερίου πυρὸς ἄνωθεν ἐκχεόμενον πολλαχῆ σκεδάννυσθαι, μεγάλα κλίματα τῆς οἰκουμένης ἐπιτρέχον. ὅταν δὲ κατακλυσμός, ἅπασαν τὴν ὕδατος [κατομβρίαν] κατασύρειν

1 μᾶλλον iter. (om. ἢ) L κατὰ τὸ φιλοσοφηθέν] καταφιλοσοφηθέν PM 3 γιγνομένων Bernays: γινομένων libri 4 ἄλλου Nauck: ἄλλο libri: ἄλλῳ Bernays 5 ἀπέδειξε PM 7 τις LPE: τίς VM ἀκολοθήσας L 9 εὑρεταὶ V τῶν ante ἐνιαυτῶν om. ar 11 ἀλλ' οὐκ] ἀλλ' om. PM 12 τίς libri: τί Turneb. ἀθρόων VPra: ἀθρόον LMv cf. 42,18 13 ἀλέκτοις LVME, cf. testim.: ἀλήκτοις P 14 φασὶν ἐν μέρει VE μακραῖς E: μικραῖς LVM: oblitt. in P ἐνιαυτῶν] ἐτῶν E 15 ὅταν] ὅτε E ἐμπρησμοῖς E καταλαμβάνῃ ex καταλαμβάνει corr. L αἰθερίου LVP: αἰθρίου M: αἰθερίον E 16 σκεδάννυται E 17 κατομβρίαν om. E: vocabulum apud Laurentium Lydum primum invenitur. *addidit qui subiectum vulgari, opinor, voce explicare studebat* (*cf.* 36,3) Diels κατασύρειν Buecheler: κατασύρῃ LVPM: κατασύρει E

8 Plat. Legg. III 677d χίλια ἀφ' οὗ γέγονεν (ταῦτα sc. τέχναι) ἢ δὶς τοσαῦτα ἔτη, τὰ μὲν Δαιδάλῳ καταφανῆ γέγονε, τὰ δὲ Ὀρφεῖ, τὰ δὲ Παλαμήδει κ. τ. λ. 12 sqq Plat. Tim. 22 C πολλαὶ καὶ κατὰ πολλὰ φθοραὶ γεγόνασιν ἀνθρώπων καὶ ἔσονται, πυρὶ μὲν καὶ ὕδατι μέγισται, μυρίοις δὲ ἄλλοις ἕτεραι βραχύτεραι ... διὰ μακρῶν χρόνων γιγνομένη τῶν ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. τότε οὖν ὅσοι κατ' ὄρη καὶ ἐν ὑψηλοῖς τόποις καὶ ἐν ξηροῖς οἰκοῦσι, μᾶλλον διόλλυνται τῶν ποταμοῖς καὶ θαλάττῃ προσοικούντων. Vita Mosis II c. 10 (II 143 M.) Deus homines malos castigavit τῶν τοῦ παντὸς δραστικωτάτων στοιχείων ἐπιθεμένων, ὕδατος καὶ πυρός, ὡς καιρῶν περιόδοις τοὺς μὲν κατακλυσμοῖς φθαρῆναι, τοὺς δὲ καταφλεχθέντας ἀπολέσθαι. πελάγη μὲν ἀρθέντα καὶ ποταμοὶ μετεωρισθέντες αὐθιγενεῖς τε καὶ χείμαρροι τὰς ἐν τῇ πεδιάδι πόλεις ἁπάσας ἐπέκλυσαν καὶ κατέσυραν, τὰς δὲ κατὰ τὴν ὀρεινὴν αἱ μεθ' ἡμέραν καὶ νύκτωρ συνεχεῖς καὶ ἀδιάστατοι ὄμβρων φοραί. χρόνῳ δὲ ὕστερον ἐκ τῶν ὑπολειφθέντων πάλιν τοῦ γένους συναυξηθέντος καὶ εἰς πολυανθρωπίαν ἐπιδόντος ἐπειδὴ ... οἱ ἀπόγονοι πρὸς ἀκολασίας ἐτράποντο ... πυρὶ τούτους ἀναλῶσαι, διενοήθη ... καὶ μέχρι τοῦ νῦν μνημεῖα τοῦ συμβεβηκότος ἀλέκτου πάθους δείκνυται κατὰ Συρίαν.

φύσιν, αὐθιγενῶν καὶ χειμάρρων ποταμῶν οὐ πλημμυρούντων μόνον ἀλλὰ
καὶ τὸ | καθεστὼς προςυπερβαλλόντων τῆς ἐπιβάσεως καὶ τὰς ὄχθας ἢ τῇ 275 B.
βίᾳ παραρρηγνύντων ἢ ὑπερπηδώντων ἀναβάσει τῇ πρὸς μήκιστον ὕψος·
ὅθεν ὑπερβλύσαντας εἰς τὴν παρακειμένην ἀναχεῖσθαι πεδιάδα, τὴν δὲ τὸ
μὲν πρῶτον εἰς μεγάλας λίμνας διανέμεσθαι, πρὸς τὰ κοιλότερα ἀεὶ τοῦ
ὕδατος συνίζοντος, αὖθις δ' ἐπιρρέοντος καὶ τοὺς μεθορίους ἰσθμοὺς | κατα- 516 M.
κλύζοντος, οἷς διεκρίνοντο αἱ λίμναι, εἰς μέγεθος ἀχανοῦς πελάγους κατὰ 6
τὴν πολλῶν ἕνωσιν ἀποκρίνεσθαι· πρὸς δὲ μαχομένων δυνάμεων ἐν μέρει
τοὺς ἐν τοῖς ἐναντίοις οἰκοῦντας τόποις ἀπόλλυσθαι, πυρὶ μὲν τοὺς ἐν ὄρεσι
καὶ γεωλόφοις καὶ δυσύδροις χωρίοις, ἅτ' οὐκ ἔχοντας φύσει πυρὸς ἀμυν-
τήριον ἄφθονον ὕδωρ, ἔμπαλιν δ' ὕδατι τοὺς παρὰ ποταμοῖς ἢ λίμναις ἢ
θαλάττῃ· γειτόνων γὰρ ἅπτεσθαι φιλεῖ τὰ κακὰ πρώτων ἢ καὶ μόνων. 10
κατὰ δὴ τοὺς λεχθέντας τρόπους δίχα μυρίων ἄλλων βραχυτέρων φθειρο-
μένου τοῦ πλείστου μέρους ἀνθρώπων ἐπιλείπειν ἐξ ἀνάγκης καὶ τὰς
τέχνας· δίχα γὰρ τοῦ μεθοδεύοντος οὐκ εἶναι καθ' αὑτὴν ἰδεῖν ἐπιστήμην.
ἐπειδὰν δὲ αἱ μὲν κοιναὶ νόσοι χαλάσωσιν, ἄρξηται δὲ ἀνηβᾶν καὶ βλαστά-
νειν τὸ γένος ἐκ τῶν μὴ προκαταληφθέντων τοῖς ἐπιβρίσασι | δεινοῖς, ἄρχε- 276 B.
σθαι καὶ τὰς τέχνας πάλιν συνίστασθαι, οὐ τότε πρῶτον γενομένας, ἀλλὰ
τῇ μειώσει τῶν ἐχόντων ὑποσπανισθείσας.

ἃ μὲν οὖν περὶ ἀφθαρσίας τοῦ κόσμου παρειλήφαμεν, εἴρηται κατὰ δύναμιν. τὰς δὲ πρὸς ἕκαστον ἐναντιώσεις ἐν τοῖς ἔπειτα δηλωτέον.

---

1 ποταμῶν καὶ χειμάρρων E 2 καὶ τὸ om. v καθεστὼς libri: καθεστὸς Mangey προςυπερβαλλόντων VPME: προςεπιβαλλόντων L τῆς om. PM 3 παραρηγνύντων V ὑπερποδώντων V 4 ὑπερβλύσαντες V 7 πελάγους VPM: πελάγη L: unde μεγέθους ἀχανοῦς πελάγη coni. Buecheler, sed *poscitur singularis et* ἀχανὲς πέλαγος *tritum est*, *velut Plutarcho* Diels. cf. ind. s. v. ἀχανής 8 τὴν πολλῶν LV: τὴν τῶν πολλῶν PM 9 ἐν τοῖς om. L, unde ἐν ἐναντίοις Bernays οἰκοῦντα L ἀπολύσθαι L πυρὶ] περὶ M 10 οὐκ ἔχοντας LPM: οὐ κατεχόντας V φύσει Turneb. (sic disposuit verba Ph. ut hiat. φύσει ἀμυντ. effugeret): φησὶ libri, cf. n. ad 42,4: φυσικὸν Buecheler 11 δ' ὕδωρ M παρὰ] περὶ L 12 φιλεῖ LV: φιλεῖν PM πρώτων ἢ καὶ μόνων Diels: πρώτων ἡγουμένων L: πρὸ τῶν ἡγεμόνων VPM: πρώτων ἤ γε μόνων Turneb. 14 ἐπιλείπειν Buecheler: ἐπιλιπεῖν libri τὴν ante ἐπιστήμην add. PMr 17 προκαταληφθέντων PM: προςκαταλειφθέντων VE: προκαταλειφθέντων L 18 τὰς τέχνας] τὰς om. M συνίστασθαι] ἀνίσταται E οὐ τότε Buecheler: οὔτε libri: οὐ τὸ Turneb. γενομένας E

---

10 cf. Plat. ad 43,12 16 Plat. Legg. III 679 B ἔχοι βλάστην καὶ ἐπίδοσιν τὸ τῶν ἀνθρώπων γένος.

I INDEX NOMINUM

II INDEX VERBORUM

Litteris C aut S verba quae in indices Cohnii aut Siegfriedii recepta sunt signavi, littera T quae in Testimoniis textui subscriptis afferuntur.

ἄπειρος 36,2 χρόνου προϊόντος 23,4 χρόνοις 11.9 χρόνῳ 4,20 37,10. χρόνῳ δ' ὕστερον 36,9 χρόνῳ μακρῷ 40,5 χρόνοις μακροῖς 6,17. 40,2 περίοδοι μακραὶ χρόνων 4,10 [C]

χρῶμα 20,17 [C]

χύσις 6,15. 31,19

χωλός 38,5 χωλὸς καὶ ἀτελής 30,20 [De congr. erud. gr. 9 (I 526 M.) χωλὴν καὶ ἀτελῆ τὴν ἐπιστήμην ἐκτήσατο]

χώρα 11,21. 12,2. 11. 36,15. 39,12. 40,17 κατὰ χώραν ἐᾶν 14.6

χωρεῖν 12,5. 14.11. 32,15 [C]

χωρίον 31,20. 44,10

χωρίς 15,15

χῶρος 12,4

ψάμμος 14,3

ψεκάς 36,5 [cf. ὄμβρος]

ψευδοδοξεῖν 32,26 ἀπελέγχονται ψευδοδοξοῦντες [De migr. Abrah. c. 39 (I 472 M.) ἀπελεγχθήσονται ψευδοδοξοῦντες — S]

ψευδολογία 22.10 [De sacrific. 11 (II 259 M.) ψευδολογίας ἐπλάσατο De conf. ling. 24 (I 422 M.) σὺν ψευδολογίαις ψευδορκίαι]

ψεύδεσθαι 6,4. 29,15

ψεῦδος 24,20

ψεῦσμα 18,5

ψηφίς 36,17

ψῦξις 8.5 [De somn. I 6 (I 625 M.) παρὰ τὴν ψῦξιν ὠνομάσθαι δοκεῖ ψυχή]

ψυχή 13,14. 20.16. 23,16. 33,18. 37,16 (τοῦ κόσμου) 15.11. 16,10. 14. 27,10

ψυχρός 32,12 [C]

ᾠδίς 21,12 [C]

ὠθεῖν 40,21

ὠκύς. ὠκύτερος 40,3

ὥρα 7,3 ὥρα ἔτους 20,12 ἐτήσιοι ὧραι 33,8 [C]

ὠφέλεια 20,7 [C]

ὡσανεί 16,9. 10 [C — Leg. all. I c. 13 (I, 51 M.) 24 (58 M.) 30 (62 M.) et sexcenties.]

9

Verlag von **Georg Reimer** in Berlin,

zu beziehen durch jede Buchhandlung.

Die im Commissions-Verlag erschienenen Schriften der Königlichen Akademie der Wissenschaften sind vor dem Titel mit * bezeichnet.

M. Pf.

Acta nationis Germanicae universitatis Bononiensis ex archetypis tabularii Malvezziani. Jussu instituti Germanici Savignyani ediderunt Ernestus Friedlaender et Carolus Malagola. Cum quinque tabulis. Fol. 1887. geb. . . . . 38.—

Antike Denkmäler. Herausgegeben vom Kaiserlich deutschen archäologischen Institut. Band I. Imp. Form.
Erstes (1886) bis fünftes Heft (1890). á 12 Tafeln mit Text in Mappe. 1887—1891. . . . . á 40.—

Aristoteles Metaphysik übersetzt von Hermann Bonitz. Aus dem Nachlass herausgegeben von Eduard Wellmann. 8. 1890 . . 6.—

Boeckh, A., die Staatshaushaltung der Athener. 3. Auflage. Herausgegeben und mit Anmerkungen begleitet von M. Fränkel. 2 Bde. mit Boeckh's Bildniss. 8. 1886 . . . . 30.—

— Urkunden über das Seewesen des attischen Staates. Mit 18 Tafeln, enth. die von L. Ross gefertigten Abschriften. Beilage zur Staatshaushltg. der Athener. 8. 1840 . . . . 15.—

Bohn, R., Alterthümer von Aegae. Unter Mitwirkung von Carl Schuchhardt herausgegeben. Mit 75 Abbildungen. 4. 1889. . 24.—

Boor, C. de, Vita Euthymii. Ein Anecdoton zur Geschichte Leo's des Weisen A. 886—912. 8. 1888 . . . . 5.—

Diels, H., Doxographi graeci collegit recensuit prolegomenis indicibusque instruxit. Opus academiae litterarum regiae Borussicae praemio ornatum. Lex. 8. 1879. 24.—

— sibyllinische Blätter. 8. 1890. . . . . 2.80

Euting, J., Nabatäische Inschriften aus Arabien, herausgegeben mit Unterstützung der königlich preussischen Academie der Wissenschaften. Mit 29 Lichtdrucktafeln. 4. 1885. geb. . . . . . . 24.—

Exempla scripturae epigraphicae Latinae a Caesaris dictatoris morte ad aetatem Iustiniani consilio et auctoritate academiae litterarum regiae Borussicae edidit E. Hübner. Auctarium Corp. inscr. Lat. 4. 1885. geb. . . . . 46.—

Firdosi's Koenigsbuch (Schahname) übersetzt von Friedr. Rückert. Aus dem Nachlasse herausgegeben von E. A. Bayer. Sage I-XIII. 8. 1890. . . . . 8.—

Friedländer, Jul., Repertorium zur antiken Numismatik im Anschluss an Mionnet's description des médailles antiques. Aus seinem Nachlass herausgegeben von Rudolf Weil. 8. 1885 . . . . 10.—

Gerhard, E., Etruskische Spiegel. V. Band. Im Auftrage des Kaiserlich Deutschen Archäologischen Instituts bearbeitet von A. Klügmann und G. Körte. 1.—10. Heft. 4. 1884—90 . . . . à 9.—

***Gräber, Fr.,** die Wasserleitungen von Pergamon. Vorläufiger Bericht. Mit einem Beitrage von C. Schuchhardt. Mit 2 Tafeln. 4. 1888 2.—

Hoffory, J., Eddastudien. I. Theil. Mit 3 Tafeln. 8. 1889 . . . . 4.—

Jahrbuch des Kaiserlich deutschen archäologischen Instituts. 4. I.—V. Band. 1886—1890. à Band (4 Hefte) . . . . 16.—

— — Ergänzungsheft I — s. Strzygowski, Calenderbilder.

— — Ergänzungsheft II — s. Bohn, Alterthümer von Aegae.